ἐκείνου μὴ μείναντος ἐφ' οἷς ἔδει μένειν, καὶ κλεισθῆναι δήπουθεν εἰκὸς ἦν. Ταύτας δὲ ὁ Χριστὸς αὐτὸς ἀνέῳξεν, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ δύναται ἁμαρτάνειν, — ἡ γὰρ δικαιοσύνη αὐτοῦ φησι μένει εἰς τὸν αἰῶνα· — ὅθεν ἀνάγκη πᾶσα, μένειν ἀνεῳγμένας καὶ πρὸς μὲν τὴν ζωὴν εἰσάγειν, ἀπὸ δὲ τῆς ζωῆς ἔξοδον οὐδενὶ παρέχειν.

---

73. *ἀναρμοσθῆναι*. C. *ἐναρμοσθῆναι*. — Idem cod. pro *τειχίῳ* h. *τειχείῳ*.

74. *οἱ οὐρανοί*. C. om. *οἱ*. Marc. 1, 10. *εἶδε σχιζομένους τοὺς οὐρανούς*. In sequentibus tres Pauli locos in unum conglutinavit: Eph. 2, 14. 16. Col. 1, 20. 2 Tim. 2, 13. De sententia supra exposui in Prolegomenis.

76 „Ἦλθον γάρ φησιν ὁ σωτὴρ, ἵνα ζωὴν ἔχωσι.“ τοῦτο γάρ ἐστιν ἡ ζωὴ, ἣν ὁ κύριος ἦκε φέρων, τὸ διὰ τῶν μυστηρίων τούτων ἐλθόντας μετασχεῖν αὐτῷ τοῦ θανάτου καὶ κοινωνῆσαι τοῦ πάθους, καὶ
77 τούτου χωρὶς τὸν θάνατον οὐκ ἔνι διαφυγεῖν. Οὔτε γὰρ μὴ βαπτισθέντα ἐν ὕδατι καὶ πνεύματι δυνατὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, οὔτε οἳ μὴ φαγόντες τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πιόντες αὐτοῦ τὸ αἷμα δύνανται ζωὴν ἐν ἑαυτοῖς ἔχειν.

78 Καὶ σκοπῶμεν ἄνωθεν. Ζῆσαι μὲν γὰρ οὐκ ἦν τῷ θεῷ μὴ ταῖς ἁμαρτίαις ἀποθανόντας, ἀποκτεῖναι δὲ δυνηθῆναι τὴν ἁμαρτίαν μόνου θεοῦ. Τοῖς γὰρ ἀνθρώποις ὠφείλετο μὲν· δίκαιοι γὰρ ἦμεν ἑκόντες ἡττηθέντες ἀναπαλαίσασθαι τὴν ἧτταν, οὐκ ἐνῆν δὲ οὐδ' ἐγγὺς δούλοις
79 ἤδη γενομένοις τῆς ἁμαρτίας. Πῶς γὰρ ἂν ἐγενόμεθα κρείττους ἢ δουλεύοντες ἦμεν; Ἦ γὰρ ἂν καὶ μείζους ἦμεν,
80 οὐκ ἐστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ! Ἐπεὶ τοίνυν ὁ μὲν τὸ χρέος τοῦτο καταλαβεῖν καὶ τὴν νίκην ἀρέσθαι ταύτην δίκαιος ὢν ἀνδράποδον ἦν, ὧν ἔδει τῷ πολέμῳ κρατεῖν, ὁ δὲ θεὸς, ᾧ ταῦτα ἐξῆν, οὐδενὸς ὑπόχρεως ἦν, καὶ διὰ ταῦτα τὸν ἀγῶνα οὐδέτερος ἀνῃρεῖτο, καὶ ἡ ἁμαρτία ἔζη, καὶ ἦν ἀμήχανον ἤδη τὴν ἀληθινὴν ζωὴν ἡμῖν ἀνατεῖλαι, τὸ τρόπαιον ἄλλου μὲν ὀφείλοντος ἄλλου δὲ δυναμένου· τούτων ἕνεκα συνελθεῖν ἐδέησε τοῦτο κἀκεῖνο, καὶ ἕνα καὶ τὸν αὐτὸν ἀμφοτέρας εἶναι τὰς φύσεις, τοῦ
81 τε προσήκοντος τῷ πολέμῳ καὶ ὃς ἐδύνατο νικῆσαι. Γίνεται τοίνυν· καὶ θεὸς μὲν οἰκειοῦται τὸν ὑπὲρ τῶν ἀνθρώπων ἀγῶνα, ἄνθρωπος γάρ· ἄνθρωπος δὲ νικᾷ τὴν ἁμαρ-

---

76. Ἦλθον γάρ. Joh. 10, 10.

78. ἀναπαλαίσασθαι. A. ἀναπαλεύσασθαι. Ve. *cum volentes victi essemus, redintegrata saltem pugna ut vinceremus aequitas postulabat.* C. h. τὴν ἧταν.

79. Matth. 10, 24.

80. ἄλλου δὲ δυναμ. C. ἑτέρου.

81. καὶ τοῦτον τὸν τρόπον. C. μὲν τ. τρ.

τίαν, καθαρὸς ἁμαρτίας ἁπάσης, θεὸς γὰρ ἦν· καὶ τοῦτον τὸν τρόπον ἡ φύσις τῶν ὀνειδῶν ἀπαλλάττεται καὶ ἀναδεῖται νίκης στεφάνῳ τῆς ἁμαρτίας πεσούσης. Οὕπω δὲ 82
καὶ τῶν ἀνθρώπων ἕκαστος ἢ νενίκηκε τούτων ἕνεκα ἢ ἠγώνισται. Ἦγουν τῶν δεσμῶν ἐκείνων ἐλύθη, καὶ τοῦτο δὲ αὐτὸς ἐποίησε δι' ὧν προσέθηκεν ὁ σωτὴρ, ἐν οἷς ἑκάστῳ τῶν ἀνθρώπων ἔδωκεν ἐξουσίαν ἀποκτεῖναι τὴν ἁμαρτίαν καὶ κοινωνοὺς αὐτῷ γενέσθαι τῆς ἀριστείας. Ἐπεὶ 83
γὰρ μετὰ τὸ τρόπαιον ἐκεῖνο δέον στεφανοῦσθαι καὶ θριαμβεύειν, ὁ δὲ πληγῶν καὶ σταυροῦ καὶ θανάτου καὶ τῶν τοιούτων εἰς πεῖραν ἦλθε, — ὅ φησι Παῦλος, „ἀντὶ τῆς 84
προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας“ — τί γίνεται; Ὁ μὲν οὐδὲν ἠδίκησεν, ὧν ἂν ταῦτα ἔδωκε δίκην, οὐδὲ ἐποίησεν ἁμαρτίαν οὐδὲ εἶχεν οὐδέν, ὅθεν ἂν ἐγκαλεῖν εἶχεν ὁ συκοφάντης καὶ σφόδρα ἀναισχυντῶν, πληγὴ δὲ καὶ ὀδύνη καὶ θάνατος ἐξ ἀρχῆς κατὰ τῆς ἁμαρτίας ἐπενοήθη. Τί γὰρ καὶ συνεχώρει φιλάνθρωπος ὢν ὁ δεσπότης; Οὐ γὰρ εἰκός ἐστι, φοβερῷ καὶ θανάτῳ τὴν ἀγαθότητα χαίρειν. Διὰ τοῦτο μετὰ τὴν 85
ἁμαρτίαν εὐθὺς τὸν θάνατον καὶ τὴν ὀδύνην συνεχώρησεν ὁ θεὸς, οὐ δίκην ἡμαρτηκότι μᾶλλον ἐπάγων ἢ φάρμακον νενοσηκότι παρέχων. Ἐπεὶ τοίνυν τοῖς ὑπὸ τοῦ Χριστοῦ πεπραγμένοις οὐκ ἦν ἐφαρμόσαι ταύτην τὴν δίκην, καὶ ἀῤῥωστίας ἴχνος εἶχεν οὐδὲν ὁ σωτὴρ, ἣν ἀνεῖλεν ὅπερ ἔλαβε φάρμακον, εἰς ἡμᾶς ἡ τοῦ ποτηρίου δύναμις ἐκείνου διαβαίνει καὶ ἀποκτείνει τὴν ἐν ἡμῖν ἁμαρτίαν, καὶ ἡ τοῦ ἀνυθρύνου πληγὴ γίνεται δίκη τοῖς πολλῶν ὑπόχρεως οὖσι. Καὶ ἐπεὶ μεγάλη τις ἦν ἡ δίκη καὶ θαυμαστὴ καὶ μείζων 86

82. *κοινωνοὺς αὐτῷ γεν.* **A.** *κοινωνίαν γεν.*

83. *τρόπαιον ἐκεῖνο.* **A.** om. *ἐκεῖνο.* — *ὅ φησι.* **Hebr. 12. 2. C.** *καὶ ὅ φησι.*

84. *οὐδὲ ἐποίησεν ἁμαρτίαν.* **A. B., in C. haec tantum margini adscripta sunt altera manu.** *φοβερῷ καὶ θαν.* **B. C.** *φθορᾷ.*

85. *Χριστοῦ πεπραγμένοις.* **A.** *πεπραμένοις.*

86. *ἀντίῤῥοπος.* **A.** *ἀντίτροπος* **(fort.** *ἀντίστροφος***). Idem cod. pro** *ἔστη* **h.** *ἴστι.* — *τοὺς ἁ. γ.* — *ἐχθίστους.* **Solus A.** *αἰσχίστους.*

ἢ τῶν ἀνθρωπείων κακῶν ἀντίῤῥοπος εἶναι, οὐ μέχρι τούτου μόνου ἔστη λύσασα τὸ ἔγκλημα, ἀλλὰ τοσαύτην προσέθηκεν ὑπερβολὴν ἀγαθῶν, ὥστε καὶ εἰς τὸν οὐρανὸν αὐτὸν ἀναβῆναι καὶ τῆς ἐνταῦθα βασιλείας τῷ θεῷ κοινωνῆσαι τοὺς ἀπὸ γῆς, τοὺς ἐχθίστους, τοὺς δεδεμένους,
87 τοὺς ἠνδραποδισμένους, τοὺς ἠτιμωμένους. Τίμιος γὰρ ἦν ὁ θάνατος ἐκεῖνος σὺμενοῦν οὐδ' ὅσον ἀνθρώποις λογίσασθαι δυνατὸν, καὶ εἰ ὀλίγου τινὸς ἐπράθη τοῖς φωνευταῖς συγχωροῦντος τοῦ σωτῆρος· ἵνα καὶ τοῦτο πτωχείας αὐτῷ γέμῃ καὶ ἀτιμίας, ὡσὰν τῷ μὲν ὅλως πραθῆναι τὰ δούλων
88 ὑπομείνας τὸ ὑβρισθῆναι κερδάνῃ. Κέρδος γὰρ ἠγεῖτο τὴν ὑπὲρ ἡμῶν ἀτιμίαν· τῷ δὲ ὀλίγου τινὸς αἰνίξηται προῖκα καὶ δῶρον εἰς τὸν ὑπὲρ τοῦ κόσμου θάνατον ἀφιγμένος. Ἐκὼν ἀπέθανε μηδένα μηδὲν ἀδικήσας, οὔτε τοῦ βίου ἕνεκα οὔτε τῆς εἰς τὸ κοινὸν πολιτείας, χαρίτων ὑπάρξας τοῖς φονευταῖς τῶν ἐπιθυμιῶν καὶ τῶν ἐλπίδων πολλῷ μειζόνων.
89 Καὶ τί δὴ ταῦτα λέγω; Θεὸς ἀπέθανεν· αἷμα θεοῦ τὸ χεθὲν ἐπὶ τοῦ σταυροῦ. Τί τιμιώτερον τούτου γένοιτ' ἂν τοῦ θανάτου, τί φρικωδέστερον! Τί τοσοῦτον ἥμαρτεν ἡ τῶν ἀνθρώπων φύσις, ὅσον λύειν εἶχεν ἡ δίκη! Πηλίκον ἂν ἦν τὸ τραῦμα, ὥστε ἀντίῤῥοπον γενέσθαι τῇ τοῦ φαρμάκου τούτου δυνάμει· ἔδει μὲν γάρ τιμωρίᾳ τινὶ τὴν ἁμαρτίαν καταλυθῆναι, καὶ ὧν πρὸς θεὸν ἐξημάρτομεν,
90 τὴν ἀξίας δόντας δίκην ἀπηλλάχθαι τῶν ἐγκλημάτων. Ὁ γὰρ τιμωρησάμενος οἷς ἐπήνεγκε δίκην, ἐγκαλοίη περὶ τῶν αὐτῶν οὐκ ἂν ἔτι· ἀνθρώπων δὲ οὐδεὶς ἦν, ὃς εὐθύνης καθαρὸς ὢν αὐτὸς ὑπὲρ τῶν ἄλλων ἔπαθεν ἄν, ὅπου γε οὐδὲ ἑαυτῷ τις ἤρκεσεν οὐδὲ τὸ γένος ἅπαν, εἰ μυριάκις

---

87. *ἐπράθη*. A. *ἐπεράσθη*. — *καὶ εἰ ὀλίγου*. Fort. legendum *εἰ καί*. — *ἵνα καὶ τοῦτο*. C. *ἕνα*, quod Vs. male emendavit in *ἓν*: *et haec una pars summae illius paupertatis et ignominiae*. — Tum C. recte *γέμῃ* pro *γένῃ*, quod h. A. B.

89. *Πηλίκον ἂν ἦν*. Sic scripsi cum BC., nam A. h. *ποικίλον*.

90. *ὑπὲρ τῶν ἄλλων*. A. B. *ὑπό*. — *οὐδὲ ἑαυτῷ*. A. *αὐτῷ*. — *τὴν γενομένην*. C. *γεγονυῖαν*.

ἐξῆν ἀποθανεῖν, τὴν γενομένην ἀπέτισε δίκην. Τί γὰρ 91
ἂν ἄξιον καὶ πάθοι δοῦλος αἴσχιστος, τὴν εἰκόνα συντρί-
ψας τὴν βασιλικὴν καὶ πρὸς τοσοῦτον ὕψος ὑβρίσας; Διὰ
ταῦτα ὁ δεσπότης ὁ ἀναμάρτητος πολλῶν δεινῶν ἀνασχό-
μενος ἀποθνήσκει καὶ φέρει μὲν τὴν πληγὴν ὑπὲρ τῶν ἀν-
θρώπων ἀπολογούμενος ἄνθρωπος ὤν, λύει δὲ τὸ γένος
τῶν ἐγκλημάτων καὶ δίδωσι τοῖς δεδεμένοις ἐλευθερίαν,
ὅτι αὐτὸς οὐκ ἐδεῖτο ταύτης θεὸς ὢν καὶ δεσπότης.

Ἀνθ' ὧν μὲν οὖν ἡ ἀληθινὴ ζωὴ διὰ τοῦ θανάτου 92
τοῦ σωτῆρος εἰς ἡμᾶς διαβαίνει, ταῦτά ἐστιν. Ὁ δὲ τρό-
πος, ὅπως ταύτην ἔλκομεν εἰς τὰς ἡμετέρας ψυχάς, τοῦτό
ἐστι τὸ τελεσθῆναι τὰ μυστήρια, τὸ λούσασθαι, τὸ χρι-
σθῆναι, τὸ τραπέζης ἀπολαῦσαι τῆς ἱερᾶς. Ταῦτα γὰρ 93
ποιοῦσιν ὁ Χριστὸς ἐπιδημεῖ καὶ ἐνοικεῖ καὶ συν-
άπτεται καὶ προσφύεται, καὶ τὴν ἁμαρτίαν ἐν
ἡμῖν ἀποπνίγει καὶ τὴν ζωὴν ἐνίησι τὴν ἑαυτοῦ
καὶ τὴν ἀριστείαν καὶ κοινωνοὺς ποιεῖται τῆς
νίκης, — ὦ τῆς ἀγαθότητος! — λουμένους ἀναδεῖ
καὶ δειπνούντας ἀνακηρύττει. Διὰ τί καὶ κατὰ 94
τίνα τοῦ γινομένου λόγον ἀπὸ λουτροῦ καὶ μύρων καὶ
τραπέζης νίκη καὶ στέφανος, ἃ πόνων καὶ ἱδρώτων ἐστὶ
καρπός; Ὅτι εἰ καὶ μὴ ἀγωνιζόμεθα μηδὲ πονοῦμεν ταῦτα
ποιοῦντες, ἀλλὰ τόν γε ἀγῶνα ὑμνοῦμεν ἐκεῖνον καὶ θαυ-
μάζομεν τὴν νίκην καὶ προσκυνοῦμεν τὸ τρόπαιον καὶ
περὶ τὸν ἀριστέα σφοδρόν τι καὶ ἄῤῥητον ἐπιδεικνύμεθα
φίλτρον. Καὶ τὰ τραύματα ἐκεῖνα καὶ τὴν πληγὴν καὶ 95
τὸν θάνατον οἰκειούμεθα, καὶ δι' ὧν ἔξεστιν εἰς ἡμᾶς
αὐτοὺς ἔλκομεν, καὶ αὐτῶν γενόμεθα τῶν σαρκῶν τοῦ
νεκρωθέντος καὶ ἀναστάντος· ὅθεν εἰκότως τῶν ἀπὸ τοῦ

---

91. θεὸς ὤν. C. interponit γε.
92. ταύτην ἔλκομεν. A. ταύτας.
93. κοινωνοὺς ποιεῖται. A. κοινωνίαν.
94. καὶ ἱδρώτων. C. add. καὶ κινδύνων. — φίλτρον. De hac voce ac notione, qua saepissime scriptor usus est, vide quae in Prolegom. exposui sectione XI.

θανάτου καὶ τῶν ἀγώνων ἐκείνων ἀπολαύομεν ἀγαθῶν.
96 Εἰ γάρ τις τύραννον ἀλόντα καὶ (δίκην) ἀπαιτούμενον παρελθὼν ἐξαιρεῖται καὶ στεφάνων ἀξιοῖ καὶ σεμνύνει τὴν τυραννίδα, καὶ αὐτὸς ἠγεῖται ἀποθνήσκειν ἐκείνου πίπτοντος καὶ καταβοᾷ τῶν νόμων καὶ πρὸς τὰ δίκαια δυσχεραίνει, καὶ ταῦτα οὐ σὺν αἰσχύνῃ οὐδὲ συγκαλύπτων τὴν πονηρίαν, ἀλλὰ παῤῥησιαζόμενος καὶ μαρτυρόμενος καὶ ἐπιδεικνύμενος τοῦτον· τίνων ἀξιώσομεν ψήφων; οὐ τῶν
97 αὐτῶν τιμησόμεθα τῷ τυράννῳ; Παντί που δῆλον. Οὐκοῦν τοὐναντίον ἅπαν, εἴ τις ἀριστέα θαυμάζει καὶ χαίρει νενικηκότι καὶ στεφάνους αὐτῷ πλέκει καὶ θορύβους ἐγείρει καὶ σείει τὸ θέατρον καὶ θριαμβεύοντι προσπίπτει σὺν ἡδονῇ καὶ κεφαλὴν καταφιλεῖ καί περιπτύσσεται δεξιὰν, καὶ οὕτω σφόδρα μαίνεται περὶ τὸν στρατιώτην καὶ ἣν ἀνῄρηται νίκην, ὥσπερ αὐτὸς ὢν ὁ τὴν κεφαλὴν τῷ στε-
98 φάνῳ κοσμήσων τὴν ἑαυτοῦ. Οὗτος γὰρ μερίτης ἂν εἴη τῶν ἐπάθλων τῷ νικητῇ παρά γε εὐγνώμοσι δικασταῖς, καθάπερ ἐκεῖνος οἶμαι κοινωνήσει τῷ τυράννῳ τῆς δίκης. Εἰ γὰρ περὶ τοὺς πονηροὺς ἃ πρόσηκε σώσομεν, καὶ τῆς προαιρέσεως καὶ τῆς γνώμης ἀπαιτητέον εὐθύνας, σχολῇ γε εἰκός ἐστι τοὺς ἀγαθοὺς τῶν γιγνομένων ἀποστερεῖν.
99 Εἰ δὲ καὶ τοῦτο προστεθείη, καὶ ὁ τὴν νίκην εἰργασμένος ἐκείνην αὐτὸς μὲν οὐ δεῖται τῶν ἀπὸ τῆς νίκης γερῶν, ἐκεῖνο δὲ ἀντὶ πάντων ἡγεῖται, λαμπρὸν ἰδεῖν ἐπὶ τοῦ θεάτρου τὸν σπουδαστὴν, καὶ τοῦτο τῆς ἀγωνίας ἆθλον ἑαυτῷ νομίζει στεφανωθῆναι τὸν ἑταῖρον· πῶς οὐ δικαίως ἐκεῖνος καὶ μάλα ἀκολούθως ἄνευ ἱδρώτων καὶ κινδύνων

---

96. (*δίκην*) *ἀπαιτούμενον*. Deest *δίκην* in A. B.

97. *περιπτύσσεται*. B. C. *περιπτύσεται*.

98. *Οὗτος γὰρ μερίτης*. C. pergit: *καὶ ἂν εἴη ἐπάθλων*. — *τῆς δίκης*. C. male *τ νίκης*. — *ἃ πρόσηκε σώσομεν*. C. *δώσομεν*. — *τῶν γιγνομένων ἀποστερεῖν*. Vs. *neutiquam fas est, bonos suis emolumentis privatum iri.*

99. *προστεθείη*. Codd. *προστεθήν εἰ*. — *τοῦτο τῆς ἀγωνίας*. A. B. *τοῦτον*.

χρίσματος τοῦ βασιλικοῦ τῆς θεώσεως αὐτῷ γενώμεθα κοινωνοί. Σιτούμενοι δὲ τὸν ἱερώτατον ἄρτον καὶ τοῦ 4
θειοτάτου πίνοντες ποτηρίου αὐτῆς μετέχομεν τῆς σαρκὸς, αὐτοῦ τοῦ αἵματος, τῶν τῷ σωτῆρι προσειλημμένων· καὶ τοῦτον τὸν τρόπον συναπτόμεθα τῷ ὑπὲρ ἡμῶν σαρκωθέντι καὶ θεωθέντι καὶ ἀποθανόντι καὶ ἀναστάντι. Τί οὖν μὴ 5
καὶ τὴν αὐτὴν ἐκείνῳ σώζομεν τάξιν, ἀλλ' ὅθεν ἔληξεν, ἀρχόμενοι, ἐν οἷς ἐκεῖνος ἤρξατο, τελευτῶμεν; Ὅτι κατῆλθεν ἵν' ἡμεῖς ἀνέλθωμεν, καὶ τῆς αὐτῆς ὑποκειμένης ὁδοῦ τὸ μὲν ἐκείνου πρᾶγμα κάθοδος ἦν, ἡμεῖς δὲ ἀνερχόμεθα· οὐκοῦν ὥσπερ ἐπὶ κλίμακος ὅπερ ἔσχατον ἦν ἐκείνῳ κατερχομένῳ, τοῦτο ἡμῖν ἀνιοῦσι γίνεται πρῶτον. Ἄλλως τε οὐδ' ἐξῆν ἑτέρως αὐτῶν ἕνεκα τῶν πραγμάτων. 6
Τὸ μὲν γὰρ βάπτισμα γέννησις, τὸ δὲ μύρον ἐνεργείας καὶ κινήσεως ἐν ἡμῖν ἔχει λόγον· ὁ δὲ τῆς ζωῆς ἄρτος καὶ τὸ ποτήριον τῆς εὐχαριστίας βρῶσίς ἐστι καὶ πόσις ἀληθινή. Οὐκ ἔστι δὲ κινη- 7
θῆναι ἢ ταφῆναι πρὶν γεννηθῆναι. Ἔτι δὲ τὸ μὲν βάπτισμα θεῷ τὸν ἄνθρωπον καταλλάττει, τὸ δὲ μύρου τῶν ἐκεῖθεν ἀξιοῖ δώρων, ἡ δὲ τραπέζης δύναμις τὴν σάρκα τοῦ Χριστοῦ καὶ τὸ αἷμα κοινὰ ποιεῖ καὶ τῷ τελουμένῳ. Ἀμήχα- 8
νον δὲ πρὶν καταλλάχθαι μετὰ τῶν φίλων ἑστάναι, καὶ ὧν ἐκείνοις προσῆκεν ἀξιοῦσθαι χαρίτων, καὶ τῷ πονηρῷ καὶ ταῖς ἁμαρτίαις ὑποκειμένους αἵματος πιεῖν καὶ σαρκὸς φαγεῖν τῶν ἀναμαρτήτων. Διὰ ταῦτα λούμεθα πρῶτον, εἶτα χριόμεθα, καὶ οὕτω καθαροὺς καὶ εὐάδεις ἡ τράπεζα δέχεται. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

---

4. *Σιτούμενοι δέ.* B. om. *δέ.*

5. *Ὅτι κατῆλθεν, ἵν' ἡμεῖς ἀνέλθωμεν.* Cf. Athan. De incarn. p. 70. 75. ed. Bened. *αὐτὸς γὰρ ἐνηνθρώπησεν, ἵν' ἡμεῖς θεοποιήθωμεν.* — *κάθοδος ἦν.* Euseb. Demonstr. ev. VI. p. 160. 67. Constantini ad Sanctorum coetum or. ap. Eus. de vita Const. cp. 21.

6. *Τὸ μὲν γὰρ βαπτ.* B. om. *γάρ.*

βοηθοῦμεν, διὰ τούτων αὐτὸς εἰς τὰς ἡμετέρας εἰσδύεται ψυχὰς καὶ τὰς θύρας ἀμφοτέρας οἰκειοῦται, τῇ μὲν ὡς
105 μύρον καὶ εὐωδία, τῇ δὲ ὡς τροφὴ προσήκων. Καὶ γὰρ καὶ ἀναπνέομεν αὐτὸν, καὶ τροφὴ γίνεται ἡμῖν, καὶ οὕτως ἑαυτὸν διὰ πάντων ἡμῖν ἀνακεράσας καὶ ἀναμίξας ἑαυτοῦ
106 ποιεῖται σῶμα καὶ γίνεται ἡμῖν ὅπερ μέλεσι κεφαλή. Διὰ τοῦτο γὰρ καὶ τῶν ἀγαθῶν ἁπάντων αὐτῷ κοινωνοῦμεν, ὅτι κεφαλή· τὰ γὰρ τῆς κεφαλῆς εἰς τὸ σῶμα διαβαίνειν ἀνάγκη. Ὑπὲρ οὗ καὶ θαυμάσαι τις ἂν, ὅτι μὴ καὶ τῶν πληγῶν αὐτῷ μετέχομεν οὐδὲ τοῦ θανάτου, ἀλλὰ μόνος μὲν ἠγώνισται, ἐπεὶ δὲ ἔδει στεφανωθῆναι,
107 τηνικαῦτα κοινωνοὺς ἡμᾶς ποιεῖται τῶν ἑαυτοῦ. Ἔστι μὲν οὖν καὶ τοῦτο τῆς ἀῤῥήτου φιλανθρωπίας, οὐ πόῤῥω δὲ λόγου καὶ τῆς γιγνομένης ἀκολουθίας. Μετὰ γὰρ τὸν σταυρὸν τῷ Χριστῷ συνήφθημεν· μήπω δὲ ἀποθανόντα
108 κοινὸν οὐδὲν ἡμῖν πρὸς ἐκεῖνον. Ὁ μὲν γὰρ υἱὸς καὶ ἀγαπητὸς, ἡμεῖς δὲ μιαροὶ καὶ δοῦλοι καὶ ἐχθροὶ τῇ διανοίᾳ· ἐπεὶ δὲ ἀπέθανε καὶ τὸ λύτρον ἐδόθη καὶ τὸ τοῦ διαβόλου δεσμωτήριον κατεστράφη, τηνικαῦτα τὴν ἐλευθερίαν καὶ τὴν υἱοθεσίαν ἐκομισάμεθα καὶ μέλη τῆς μακαρίας ἐκείνης κατέστημεν κεφαλῆς. Ἐξ ἐκείνου τοίνυν, ἃ τῆς
109 κεφαλῆς ἐστι, καὶ ἡμῶν γίνεται. Καὶ νῦν μὲν ἀναμάρτητοι τοῦ ὕδατος ἀπαλλαττόμεθα τούτου, καὶ τῶν αὐτοῦ μετέχομεν χαρίτων διὰ τὸ μύρον, καὶ διὰ τὴν τραπέζαν τὴν αὐτὴν ἐκείνῳ ζῶμεν ζωήν· ἐπὶ δὲ τοῦ μέλλοντος θεοὶ περὶ θεὸν καὶ τῶν αὐτῶν αὐτῷ κληρονόμοι καὶ τὴν αὐτὴν αὐτῷ βασιλεύοντες βασιλείαν, ἐάν γε μὴ ἐκόντες ἡμᾶς αὐτοὺς ἀποστυφλώσωμεν ἐν τῷδε τῷ βίῳ καὶ τὸν χιτῶνα

---

105. *Καὶ γὰρ καί.* C. om. alterum. *καί.* — *μέλεσι κεφαλή.* A. *μέλων ἐστὶ κεφαλή.*

106. *μετέχομεν οὐδέ.* C. *μετέσχομεν.*

108. *καὶ μέλη τῆς.* C. om. *μέλη.* — *καὶ ἡμῶν γίνεται.* Fort. leg. *τὰ ἡμῶν.*

109. *τῶν αὐτοῦ μετέχομεν.* C. *τ. αὐτῶν αὐτοῦ μ.* — *αὐτὴν ἐκείνῳ.* A. *ἐκείνην.* — *ἐάν γε μή.* A. pro *γε* h. *δέ.*

διαῤῥήξωμιεν τὸν βασιλικόν. Τοῦτο γὰρ ὑπὲρ τῆς ζωῆς 110
εἰσάγομιεν μιόνον, τὰς δωρεὰς ὑπομιεῖναι καὶ τῶν χαρίτων
ἀναστχέσθαι καὶ μὴ ῥίψαι τὸν στέφανον, ὃν πολλοῖς
ἱδρῶσι καὶ πόνοις ἔπλεξεν ἡμῖν ὁ θεός. Τοῦτό ἐστιν ἡ ἐν
τῷ Χριστῷ ζωὴ, ἣν συνίστησι μὲν τὰ μυστήρια. Δοκεῖ 111
δέ τι δύνασθαι πρὸς ταύτην καὶ τὴν ἀνθρωπείαν σπουδὴν·
ὅθεν τῷ περὶ αὐτῆς εἰπεῖν βουλομένῳ, περὶ τῶν μυστηρίων
ἑκάστου πρῶτον διαλαβόντι, εἶτα περὶ τῆς κατ' ἀρετὴν
ἐργασίας ἀκόλουθον ἂν εἴη σκοπεῖν.

---

110. *εἰσάγομεν.* A. *εἰσάγωμεν.* Idem cod. post pauca pro *ἔπλεξεν*, quod in B. C. exstat, h. *ἔμιξεν.*

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος δεύτερος.

Τίνα συντέλειαν τὸ θεῖον αὐτῇ παρέχεται βάπτισμα.

1 Τὸ μὲν οὖν ἐν τοῖς ἱεροῖς μυστηρίοις τὴν ἱερὰν ζωὴν συνεστάναι ἀπὸ τῶν προτέρων δέδεικται· ἕκαστον δὲ τῶν μυστηρίων ὅπως εἰς τουτονὶ φέρει τὸν βίον, νυνὶ σκοπῶμεν. Ἔστι μὲν γὰρ ἡ ἐν Χριστῷ ζωὴ αὐτὸ τὸ συναφθῆναι Χριστῷ· ὃν δ' ἄρα τρόπον ἑκάστη τελετὴ τοὺς τετελεσμένους τῷ Χριστῷ συνάπτει, λέγωμεν ἤδη.

2 Ἔστι δὴ Χριστῷ συναφθῆναι διὰ πάντων ἐλθοῦσι, δι' ὧν ὁ σωτὴρ ἦλθε, καὶ πάντα καὶ παθοῦσι καὶ γενομένοις ὅσα ἐκεῖνος. Ἐκεῖνος τοίνυν ἠνώθη μὲν αἵματι καὶ σαρκὶ πάσης καθαροῖς ἁμαρτίας· φύσει δὲ ὢν θεὸς αὐτὸς ἐξ ἀρχῆς καὶ τοῦτο τεθέωκεν, ὃ γέγονεν ὕστερον, τὴν ἀνθρωπείαν φύσιν, τελευτῶν δὲ καὶ ἀπέθανε τῆς σαρκὸς
3 ἕνεκα καὶ ἀνέστη. Δεῖ τοίνυν καὶ τῆς σαρκὸς αὐτῷ μεταλαβεῖν καὶ τῆς θεώσεως μετασχεῖν καὶ τοῦ τάφου καὶ τῆς ἀναστάσεως κοινωνῆσαι τὸν συναφθῆναι ζητοῦντα· καὶ δὴ βαπτιζόμεθα μὲν, ἵνα τὸν θάνατον ἀποθάνωμεν ἐκεῖνου καὶ τὴν ἀνάστασιν ἀναστῶμεν, χριόμεθα δὲ ἵνα τοῦ

Liber secundus. In cod. B. inscriptio brevis est: *Λόγος β. περὶ τοῦ ἁγίου βαπτίσματος*, in cod. Reg. apud Casaubonum: *ἤτοι περὶ τοῦ ἁγίου βαπτίσματος, τίνα συντέλειαν παρέχει τῇ ἐν Χριστῷ ζωῇ.*

1. *προτέρων δέδεικται.* C. add. *λόγων.*

χρίσματος τοῦ βασιλικοῦ τῆς θεώσεως αὐτῷ γενώμεθα κοινωνοί. Σιτούμενοι δὲ τὸν ἱερώτατον ἄρτον καὶ τοῦ 4
θειοτάτου πίνοντες ποτηρίου αὐτῆς μετέχομεν τῆς σαρκὸς, αὐτοῦ τοῦ αἵματος, τῶν τῷ σωτῆρι προσειλημμένων· καὶ οὕτον τὸν τρόπον συναπτόμεθα τῷ ὑπὲρ ἡμῶν σαρκωθέντι καὶ θεωθέντι καὶ ἀποθανόντι καὶ ἀναστάντι. Τί οὖν μὴ 5
καὶ τὴν αὐτὴν ἐκείνῳ σώζομεν τάξιν, ἀλλ' ὅθεν ἔληξεν, ἀρχόμενοι, ἐν οἷς ἐκεῖνος ἤρξατο, τελευτῶμεν; Ὅτι κατῆλθεν ἵν' ἡμεῖς ἀνέλθωμεν, καὶ τῆς αὐτῆς ὑποκειμένης ὁδοῦ τὸ μὲν ἐκείνου πρᾶγμα κάθοδος ἦν, ἡμεῖς δὲ ἀνερχόμεθα· οὐκοῦν ὥσπερ ἐπὶ κλίμακος ὅπερ ἔσχατον ἦν ἐκείνῳ κατερχομένῳ, τοῦτο ἡμῖν ἀνιοῦσι γίνεται πρῶτον. Ἄλλως τε οὐδ' ἐξῆν ἑτέρως αὐτῶν ἕνεκα τῶν πραγμάτων. 6
Τὸ μὲν γὰρ βάπτισμα γέννησις, τὸ δὲ μύρον ἐνεργείας καὶ κινήσεως ἐν ἡμῖν ἔχει λόγον· ὁ δὲ τῆς ζωῆς ἄρτος καὶ τὸ ποτήριον τῆς εὐχαριστίας βρῶσίς ἐστι καὶ πόσις ἀληθινή. Οὐκ ἔστι δὲ κινη- 7
θῆναι ἢ ταφῆναι πρὶν γεννηθῆναι. Ἔτι δὲ τὸ μὲν βάπτισμα θεῷ τὸν ἄνθρωπον καταλλάττει, τὸ δὲ μύρον τῶν ἐκεῖθεν ἀξιοῖ δώρων, ἡ δὲ τραπέζης δύναμις τὴν σάρκα τοῦ Χριστοῦ καὶ τὸ αἷμα κοινὰ ποιεῖ καὶ τῷ τελουμένῳ. Ἀμήχα- 8
νον δὲ πρὶν κατηλλάχθαι μετὰ τῶν φίλων ἑστάναι, καὶ ὧν ἐκείνοις προσῆκεν ἀξιοῦσθαι χαρίτων, καὶ τῷ πονηρῷ καὶ ταῖς ἁμαρτίαις ὑποκειμένους αἵματος πιεῖν καὶ σαρκὸς φαγεῖν τῶν ἀναμαρτήτων. Διὰ ταῦτα λούμεθα πρῶτον, εἶτα χριόμεθα, καὶ οὕτω καθαροὺς καὶ εὐώδεις ἡ τράπεζα δέχεται. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

---

4. *Σιτούμενοι δέ.* B. om. *δέ.*

5. *Ὅτι κατῆλθεν, ἵν' ἡμεῖς ἀνέλθωμεν.* Cf. Athan. De incarn. p. 70. 75. ed. Bened. *αὐτὸς γὰρ ἐνηνθρώπησεν, ἵν' ἡμεῖς θεοποιηθῶμεν.* — *κάθοδος ἦν.* Euseb. Demonstr. ev. VI. p. 160. 67. Constantini ad Sanctorum coetum or. ap. Eus. de vita Const. cp. 21.

6. *Τὸ μὲν γὰρ βαπτ.* B. om. *γάρ.*

9 Περὶ δὲ τῶν μυστηρίων ἑκάστου σκοπῶμεν ἔτι, τίνα συντέλειαν τῷ ἱερῷ παρέχεται βίῳ, καὶ περὶ τοῦ βαπτίσματος πρώτου, ὅσα γ' εἰς τὴν ζωὴν ταύτην δύναται φέρειν.

10 Ἐστὶ τοίνυν τὸ βαπτισθῆναι αὐτὸ τὸ κατὰ Χριστὸν γεννηθῆναι καὶ λαβεῖν αὐτὸ τὸ εἶναι καὶ ὑποστῆναι μηδὲν

11 ὄντας. Τοῦτο δὲ καταμαθεῖν ἔστι πολλαχόθεν. Πρῶτον μὲν ἀπὸ τῆς τάξεως αὐτῆς, ὅτι τοῦτο πρῶτον μυούμεθα μυστηρίων, καὶ πρὸ τῶν ἄλλων τοῦτο Χριστιανοὺς εἰς τὴν καινὴν εἰσάγει ζωήν, δεύτερον τῶν ὀνομάτων, ὅθεν αὐτὸ καλοῦμεν, καὶ τρίτον τῶν ἐπ' αὐτῷ τελουμένων καὶ ἁδομένων.

12 Ἡ μὲν οὖν τάξις ἄνωθεν αὕτη, λούσασθαι πρῶτον, εἶτα μύρῳ χρισαμένους εἰς τὴν τράπεζαν ἀφικέσθαι τὴν ἱεράν· ὃ δὴ τεκμήριόν ἐστιν ἐναργὲς, τοῦ τε ἀρχὴν βίου καὶ ζωῆς βάθρον καὶ τοιαύτας ὑποθέσεις τὸ λουτρὸν εἶναι, ἐπεὶ καὶ Χριστὸς αὐτὸς, μεθ' ὧν ὑπὲρ ἡμῶν ἠνέσχετο πάντων, καὶ βαπτισθῆναι δεῆσαν τοῦτο δέχεται πρὸ τῶν

13 ἄλλων. Τὰ δὲ ὀνόματα πρός τί ἂν ἄλλο δύναιτο φέρειν; Γέννησιν καὶ ἀναγέννησιν καὶ ἀνάπλασιν καὶ σφραγῖδα αὐτὸ καλοῦμεν, ἔτι δὲ βάπτισμα καὶ ἔνδυμα καὶ χρίσμα, καὶ χάρισμα καὶ φώτισμα καὶ λουτρόν· ἃ δῆ πάντα τὸν ἕνα τοῦτον δύναται λόγον, τοῖς κατὰ θεὸν οὖσι καὶ ζῶσιν ἀρχὴν εἶναι τοῦ εἶναι τὴν τελε-

14 τήν. Ἡ μὲν οὖν γέννησις ἐπιεικῶς οὐδὲν ἄλλο ἢ τοῦτο δοκεῖ σημαίνειν· καὶ ἡ ἀναγέννησις καὶ ἡ ἀνάπλασις ἐκεῖνο προσσημαίνουσι μόνον, τοὺς γεννωμένους καὶ πλαττομένους καὶ ἄλλοτε γεννηθῆναι καὶ ἀπολέσαντας τὴν μορφὴν νῦν δευτέρᾳ γεννήσει πρὸς τὸ πρῶτον εἶδος αὖθις

---

11. *μυούμεθα μυστηρίων.* Sic codd., fort. leg. *μυστήριον.* — *καὶ ἁδομένων.* B. *εἰδομένων.*

12. *τοῦ τε ἀρχὴν βίου.* B. *γε ἀρχῆς.*

13. *ἔτι δὲ — — χρίσμα.* Om. haec B. — Nomina haec baptismi enumerantur a Gregorio Naz. in orat. XL. (Opp. I. p. 637 sqq. Col. 1690). Vide praeterea in Prolegg. sect. V.

14. *προσσημαίνουσι μόνον.* B. C. *προσσημαίνουσαι.*

ἐπανιέναι, καθάπερ ἀνδριάντος ὕλην τὸ εἶδος ἀπολωλεκότος ἀποδιδοὺς ὁ τεχνίτης ἀναγεννᾷ τὴν εἰκόνα καὶ ἀναπλάττει, ἐπεὶ καὶ αὐτό, ὅ τι ποτέ ἐστιν ἐν ἡμῖν τὸ τοῦ βαπτίσματος ἔργον, εἶδός ἐστι καὶ μορφή. Καὶ γάρ τινα εἰκόνα 15
ἐγγράφει καὶ μορφὴν ἐντίθησι ταῖς ψυχαῖς συμμόρφους ἀπόφαινον τοῦ θανάτου καὶ τῆς ἀναστάσεως τοῦ σωτῆρος, ὑπὲρ οὗ καὶ σφραγὶς καλεῖται πρὸς τὴν βασίλειον πλάττον εἰκόνα καὶ τὸ μακάριον εἶδος. Ὅτι δὲ τὸ εἶδος τὴν ὕλην περιβάλλει καὶ ἀφανίζει τὴν ἀμορφίαν, καὶ ἔνδυμα καλοῦμεν καὶ βάπτισμα τὸ μυστήριον. Καὶ τοῦτο 16
δηλῶν ὁ Παῦλος, τὸ ἔνδυμα καὶ τὴν σφραγῖδα πρὸς τοῦτο φέρειν, νῦν μὲν ἐγγραφῆναι καὶ μορφωθῆναί φησι τὸν Χριστὸν, νῦν δὲ περιτεθῆναι Χριστιανοῖς καθάπερ ἱμάτιον· ἐνδεδύσθαι λέγεται ὁ μεμυημένος καὶ βεβαπτίσθαι, τὸ μὲν Γαλάταις γράφων, „τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν,“ καὶ „Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος,“ τὸ δὲ Κορινθίοις, „ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.“ Καὶ γὰρ χρυ- 17
σὸς καὶ ἄργυρος καὶ χαλκὸς, ἕως μὲν τῷ πυρὶ τακεὶς διαῤῥεῖ, γυμνὴν παρέχει τὴν ὕλην ὁρᾶν· ὅθεν καὶ χρυσὸς μόνον ἡ χαλκὸς αὐτὸ τοῦτο καλεῖται τὸ τῆς ὕλης ὄνομα. Ἐπειδὰν δὲ ὑπὸ τῶν τυπούντων σιδήρων εἰς τὸ εἶδος συνελαθῇ, οὐκέτι μὲν ἡ ὕλη, τὸ δὲ εἶδος φθάνον, καθάπερ τὰ ἱμάτια πρὸ τῶν σωμάτων ἅπαντᾷ τοῖς ὁρῶσιν, ὅθεν καὶ ὀνόμασος ἰδίου τινὸς τυγχάνει· ἀνδριὰς γὰρ ἡ δακτύλιος ἢ ὁτιοῦν τῶν τοιούτων, ἃ τὴν μὲν ὕλην οὐκέτι, τὸ εἶδος δὲ μόνον σημαίνει καὶ τὴν μορφήν. Ἴσως δὲ διὰ ταῦτα 18

---

15. πλάττον εἰκόνα C. πλάττων. — εἶδος τὴν ὕλην. Conf. Plat. Tim. p. 60. Bekk. Arist. phys. acroas. II. p. 209. B.
16. ἐνδεδύσθαι — βεβαπτίσθαι. Desunt haec in B. — τεκνία μου. Gal. 4, 19. 3, 1. ὅσοι εἰς Χρ. ἐβαπτ. Gal. 3, 27.
17. ὁτιοῦν τ. τοιούτων. Fortasse addendum καλεῖται.
18. ὀνομαστήριος. Apud Gregorium Naz. dies festi ad nominum impositionem instituti vocantur τὰ ὀνομαστήρια. Conf. Steph. Thes. s. h. v.

καὶ ὀνομαστήριός ἐστιν η σωτήριος τοῦ βαπτίσματος ἡμέρα Χριστιανοῖς, ὅτι τηνικαῦτα πλαττόμεθα καὶ τυπούμεθα, καὶ εἶδος καὶ ὅρον ἡ ἀνείδεος καὶ ἀόριστος ἡμῶν λαμβάνει
19 ζωή. Ἄλλως τε τῷ γινώσκουτι τὰ ἴδια τότε γινωσκόμενοι καὶ ἧ φησι Παῦλος „γνόντες θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ,“ τὴν σημαντικὴν φωνὴν τὴν ἐπωνυμίαν κατὰ ταύτην ἀκούομεν τὴν ἡμέραν, ὡς ἂν τότε γινωσκόμενοι
20 καθαρῶς· τὸ γὰρ τῷ θεῷ γνωσθῆναι τοῦτό ἐστιν ὡς ἀληθῶς γνώριμον εἶναι. Διὰ τοῦτο καὶ περὶ τῶν μηδὲν κοινὸν πρὸς τὴν ζωὴν ταύτην ἐχόντων ὁ Δαβὶδ εἶπεν, „οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου,“ ἄγνωστοι γὰρ καὶ ἀφανεῖς, οἳ τοῦ φωτὸς ἐκείνου πόῤῥω κατέ-
21 στησαν ἑαυτούς. Οὔτε γὰρ τοῖς ὀφθαλμοῖς τοῦ φωτὸς χωρὶς τῶν ὁρᾶσθαι δυναμένων γένοιτ' ἂν οὐδὲν φανερὸν οὔτε τῷ θεῷ γνώριμον, ᾧ μὴ δέξασθαι συνέβη τὴν ἐκεῖθεν ἀκτῖνα. Τὸ δὲ αἴτιον, ὅτι μηδὲ ἔστιν ὅλως τῇ ἀληθείᾳ, ὃ μὴ δῆλον ἐκείνῳ γίνεται τῷ φωτί· καὶ κατὰ τοῦτον τὸν λόγον „ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ,“ καὶ αὖθις τῶν παρθένων τὰς μωρὰς οὐκ εἰδέναι λέγει.

22 Διὰ ταῦτα τὸ βάπτισμα φώτισμα, ὅτι τὸ ἀληθινὸν εἶναι παρέχον γνωρίμους καθίστησι τῷ θεῷ, καὶ πρὸς τὸ φῶς ἄγον ἐκεῖνο τῆς ἀφανοῦς ἀφίστησι πονηρίας. Διὰ ταῦτο καὶ λουτρὸν διότι φώτισμα· οὕτω γὰρ παρέχει τῷ φωτὶ καθαρῶς ὁμιλῆσαι πάντα μολυσμὸν, ὃς τὴν θείαν ἀκτῖνα τῶν ψυχῶν τῶν ἡμετέρων διείργει,
23 καθάπερ τι μεσότοιχον ἐξελόν. Χάρισμα δὲ ὅτι γέννησις· τῆς γὰρ γεννήσεως τῆς ἑαυτοῦ τί ἄν τις προεισενέγκοι, ἐπεὶ καθάπερ ἐπὶ τῆς γεννήσεως τῆς φυσικῆς ἔχει, οὐδ' αὐτὸ τὸ βούλεσθαι προεισάγομεν τῶν ἀπὸ τοῦ βαπτίσματος

---

19. *γνόντες θεόν.* Gal. 4, 9.
20. *οὐ μὴ μνησθῶ.* B. *μεμνησθῶ.* Ps. 15, 4.
21. *ἔγνω κύριος.* Numer. 16, 5. 2 Tim. 2, 19. Matth. 25, 12.
23. *προεισάγομεν.* C. *προσάγομεν.*

ἀγαθῶν, εἴ τις ἀκριβῶς ἐθέλοι σκοπεῖν; Βουλόμεθα γὰρ, ἃ καὶ ἔστιν ἐνθυμηθῆναι· ταῦτα δὲ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, οὐδὲ λογίσασθαι δύναιτ' ἂν πρὶν εἰς πεῖραν ἐληλυθέναι. Ἐλευθερίαν γὰρ ἀκούοντες προκειμέ- 24
νην καὶ βασιλείαν, εὐδαίμονά τινα λογιζόμεθα ζωὴν, ἣν ἔξεστιν ἀνθρωπίνους δέξασθαι λογισμούς· τὸ δέ ἐστι παντάπασιν ἄλλο, μεῖζον καὶ τῆς διανοίας καὶ τῆς ἐπιθυμίας τῆς ἡμετέρας. Χρίσμα δὲ ὅτι τὸν δι' ἡμᾶς χρισθέντα, τὸν Χριστὸν, ἐγγράφει τοῖς τελουμένοις, καὶ σφραγίς ἐστιν αὐτὸν ἐνσημαίνουσα τὸν σωτῆρα. Τὸ γὰρ χρίσμα 25
πανταχοῦ διὰ πάσης ἀκριβῶς τῆς μορφῆς ἀφιγμένον τοῦ σώματος τοῦ δεξαμένου καὶ προσάρμοσαν αὐτὸν ἐν αὐτῷ φέρει τὸν ἀληλιμμένον ἐνσημανθέντα, καὶ τὸ εἶδος δείκνυσι καὶ σφραγίς ἐστιν ἀτεχνῶς. Δέδεικται δὲ τοῖς εἰρημένοις, τῇ γεννήσει ταὐτὸ δύνασθαι τὴν σφραγῖδα, καθάπερ καὶ τῇ σφραγῖδι τὸ ἔνδυμα καὶ τὸ βάπτισμα. Ἐπεὶ δὲ καὶ 26
τὸ χάρισμα καὶ τὸ φώτισμα καὶ τὸ λοῦτρον τῇ πλάσει καὶ γεννήσει πρὸς ταὐτὸ φέρει, δῆλον ἐγένετο, πᾶσαν τοῦ βαπτίσματος ἐπωνυμίαν τὸ ἓν ἐκεῖνο σημαίνειν, ὡς ἄρα γέννησις καὶ τῆς ἐν Χριστῷ ζωῆς ἡμῖν ἐστιν ἀρχὴ τὸ λουτρόν. Εἰ δὲ καὶ τὰ τελούμενα καὶ λεγόμενα τοῦ μυστηρίου τούτου δύναται τὸν λόγον, φανερὸν ἂν εἴη κατὰ μέρος τὴν τελετὴν ἐπιοῦσι.

Φαίνεται γὰρ ὁ προσιὼν τῷ μυστηρίῳ πρὶν τελεσθῆ- 27
ναι μήπω θεῷ καταλλαγμένος, μήπω τῆς ἀρχαίας αἰσχύνης ἀπηλλαγμένος· εὔχεται γὰρ αὐτῷ προσιόντι, πρὶν ἄλλο τι τελέσῃ, τὴν τοῦ κατέχοντος δαίμονος ἀπαλλαγὴν ὁ τελῶν, καὶ οὐ τῷ θεῷ περὶ αὐτοῦ διαλέγεται μόνον, ἀλλὰ καὶ αὐτῷ ἐπιπεσὼν ἐπιτιμᾷ τῷ τυράννῳ καὶ ἐλαύνει μαστίζων. Ἡ δὲ μάστιξ αὐτῷ τὸ ὄνομά ἐστι τὸ ὑπὲρ πᾶν 28
ὄνομα. Τοσοῦτον ἀπέχει ζῶν εἶναι καὶ υἱὸς καὶ κληρονόμος,

---

27. **Conf. Cyrilli Hieros. catech. myst. I. II. — *ἐλαύνει μαστίζων.* Cyr. Cat. XVI, p. 185. mystag. II, p. 232. Par. 1631. *θεία μάστιξ.* 2 Macc. 9. 11. conf. Marc. 3, 10. 5, 29.**

ὅς γε ἔτι τῷ τυράννῳ δουλεύει· συμβαίνει γὰρ τῷ πονηρῷ συνόντα θεοῦ παντελῶς ἀφεστάναι, τὸ δέ ἐστι παντάπασι νεκρὸν εἶναι. Διὰ τοῦτο καὶ ὡς ἂν οὔπω ζωῆς μετειληφότος προσελθὼν ὁ τελεστὴς ἐμφυσᾷ τῷ προσώπῳ· τὸ γὰρ
29 ἐμφύσημα ἄνωθεν ζωῆς αἴνιγμα. Καὶ τὰ ἑξῆς δὲ ἀκολούθως ἔχει· πάντα γὰρ τῶν ἄρτι καθισταμένων, καὶ τῶν μὲν παρόντων καὶ ἐν χερσὶν ὑπερωρώντων, ἐπ' ἄλλα δὲ μεταπιθεμένων. Ἐπείγεται γὰρ κόσμιον τοῦ μὲν καταφρονῆσαι, τὸν δὲ τιμῆσαι, καὶ βίον τὸν μὲν ἀπογεγονέναι, τὸν δὲ βιῶναι, καὶ ζωῆς ἡγούμενον τὸν μὲν ἐκ παντὸς τρό-
30 που φευγεῖν, τὸν δὲ πάσῃ σπουδῇ διώκειν. Οὐκοῦν δι' ὧν μὲν ἀποπίθεται τὰ παρόντα, δῆλός ἐστιν ὧν κατεγνώκει μήπω καὶ νῦν ἀπηλλαγμένος· δι' ὧν δὲ τὰ δόξαντα καλλίω καὶ ἃ προύθηκε τῶν παρόντων ἀπὸ τοῦ μυστηρίου τούτου λαμβάνει, δείκνυσι τῷ βαπτισθῆναι τῆς ἐπαινουμένης ἀρχόμενος ζωῆς. Τὸν γὰρ ἱερὸν εἰσελθὼν οἶκον τὸν χιτῶνα κατατίθεται καὶ τὰ ὑποδήματα ὑπολύει, τῷ ἱματίῳ καὶ τοῖς ὑποδήμασιν, ἃ πρὸς τὴν ζωὴν βοηθεῖ, τὸν
31 πρότερον αἰνιττόμενος βίον. Ἔτι δὲ πρὸς δυσμιὰς ἀποβλέπων πνεῦμα τοῦ στόματος ἀποπνεῖ, τῆς ἐν σκότει ζωῆς σημεῖον, χεῖράς τε ἐκτείνει καὶ ὡς παρόντα καὶ ἐπικείμενον τὸν πονηρὸν ἀπωθεῖται καὶ ὡς μυαροῦ καὶ βδελυροῦ καταπτύει, καὶ τὰς ἐχθίστας καὶ ἀπίστους καὶ ὀλέθρου παντὸς αἰτίας ἀρνεῖται σπουδὰς καὶ τὴν φιλίαν τὴν πικρὰν
32 παντάπασι διαλύει καὶ τὴν ἔχθραν ἐπαινεῖ. Καὶ ἐπεὶ φύγοι τὸ σκότος, ἐπὶ τῆν ἡμέραν τρέχει καὶ πρὸς τὴν ἕω στραφεὶς ζητεῖ τὸν ἥλιον, καὶ λυθεὶς τῶν τοῦ τυράννου χειρῶν τὸν βασιλέα προσκυνεῖ, καὶ τοῦ νόθου καταγνοὺς τὸν γνήσιον ἐπιγινώσκει δεσπότην καὶ εὔχεται ὑποταγῆσεσθαι αὐτῷ καὶ δουλεύσειν ὅλῃ ψυχῇ καὶ πρό γε τούτων

---

28. *ὡς ἂν οὔπω.* B. *οὕτω.* — *ἐμφύσημα.* Conf. Cyrilli cat. myst. II, p. 232. *ἐμφύσησις μυστική.* Greg. Naz. XLIV. p. 707.

29. *μετατιθεμένων.* C. cum Va. *μέτρα τιθεμένων.* — *τὸν δὲ τιμῆσαι.* C. *τοῦ δέ.*

32. *ἐπεὶ φύγοι.* C. *φύγει* (*φεύγει*). — Cyrill. cat. l. c. p. 231.

ως θεὸν εἰς αὐτὸν πιστεύειν καὶ ἃ περὶ αὐτοῦ προσῆκε
γινώσκειν. Καὶ τοῦτο γὰρ ἀρχὴ τῆς μακαρίας ζωῆς, ἡ 33
ἀληθὴς περὶ θεοῦ γνῶσις· „τὸ γὰρ ἐπίστασθαί σέ, φησι
Σολομὼν, ῥίζα ἀθανασίας,“ ὥσπερ τὸ ἀγνοῆσαι τὸν θεὸν
τὸν θάνατον εἰσήνεγκεν ἐξ ἀρχῆς. Ἐπεὶ γὰρ ὁ Ἀδάμ τὴν 34
θείαν ἀγνοήσας φιλανθρωπίαν βάσκανον εἶναι ᾠήθη τὸν
ἀγαθὸν, καὶ τῆς σοφίας ἐπιλαθόμενος λαθεῖν ἐνόμισε τὸν
σοφὸν, τῷ δραπέτῃ προσετέθη τὸν δεσπότην περιιδὼν, καὶ
διὰ τοῦτο τοῦ παραδείσου τε ἀπηλάθη καὶ τὴν ζωὴν ἀφῃ-
ρέθη καὶ ὠδυνήθη καὶ ἀπέθανεν· ὅθεν τῷ πρὸς τὴν ζωὴν
ἐπειγομένῳ καὶ τὸ θεὸν ἡγεῖσθαι τὴν περὶ θεοῦ γνῶσιν
πᾶσα ἀνάγκη. — Καὶ τὸ γυμνωθῆναι δὲ καθάπαξ καὶ 35
τὸν τελευταῖον καταθέσθαι χιτῶνα δείκνυμεν ἄρτι τῆς εἰς
τὸν παράδεισον φερούσης ἁπτόμενοι καὶ τὴν ἐνθαῦτα ζωήν.
Ὁ μὲν γὰρ Ἀδὰμ ἀπὸ τῆς εὐδαίμονος ἐκείνης περιβολῆς
ἐπὶ τὴν γύμνωσιν ἐλθὼν, ἀπὸ ταύτης ἐπὶ τὴν ἀθλίαν
ταύτην ἦκε σκευήν· ἡμεῖς δὲ ἀπὸ τῶν δερματίνων χιτώ-
νων ἐπὶ τὴν γύμνωσιν ἰόντες καὶ διὰ τοῦ αὐτοῦ βαδί-
ζοντες μέσου δῆλοι καθέσταμεν τὴν αὐτὴν ἐπανιόντες
ὁδὸν καὶ πρὸς τὸ ἰμάτιον ἐπειγόμενοι τὸ βασιλικὸν, καὶ
ὅθεν καὶ δι' ὧν ἐκεῖνος καθῆλθεν εἰς τὸν κόσμιον τοῦ-
τον, ἡμεῖς ἐνθένδε ἐπανιόντες. Εἴη δ' ἂν κἀκείνου 36

---

33. *θεοῦ γνῶσις.* **Sap. Sal. 15, 3.** *τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας.*

34. *καὶ διὰ — ἀπηλάθη.* **Absunt haec a B.**

35. *παράδεισον φερούσης.* **Scil.** *ὁδοῦ.* — *ἁπτόμενοι.* **C.** *ἁπτόμενον.* **Proximus locus:** *Ὁ μὲν γὰρ Ἀδὰμ — ἐνθένδε ἐπανιόντες* **apud Jahnium reperitur adnotatione ornatus l. c. Lesefrüchte p. 735. 36. —** *ἐπὶ τὴν γύμνωσιν.* **Permulta de tota hac imagine ad baptismi ritum explicandum adhibita, quam bene norunt viri docti, possunt conferri, v. c. praeter Cyrillum l. c. Greg. Naz. or. XXXVIII, p. 619. Eust. Opusc. ed. Tafel. p. 330. Plura congessit Jahn. l. c. et in Animadv. in Basil. p. 136. —** *ἐπανιόντες.* **A Jahnio laudatur Porphyr. de Abstin. ed. Rhoer. p. 49.**

σημεῖον τὸ γυμνωθῆναι, τοῦ νῦν καθαρῶς τῷ ἀληθινῷ
φωτὶ προσιέναι μηδὲν ἐπιφερομένους· ὅθεν ἡ σκιὰ τοῦ
θανάτου, καὶ ἃ τὴν μακαρίαν ἀκτῖνα τῶν ψυχῶν τῶν
ἀνθρωπίνων ἀποτειχίζει, καθάπερ τὰ ἱμάτια τειχίον τί
37 ἐστί μεταξὺ τοῦ φωτὸς τούτου καὶ τῶν σωμάτων. Καὶ
μὴν καὶ ἡ τοῦ ἐλαίου χρίσις γένοιτο μὲν ἂν καὶ ἄλλου
τινὸς σημεῖον, καὶ πρὸς τοῦτο δὲ δύναται φέρειν. Ἐννοῶ-
μεν γὰρ τὴν Ἰακὼβ στήλην, ἣν τῷ ἐλαίῳ χρίσας προσή-
νεγκε τῷ θεῷ, καὶ τοὺς βασιλέας καὶ τοὺς ἱερέας αὐτῷ
τούτῳ τῷ κοινῷ καὶ τῷ θεῷ καθιερουμένους, οἵ σφισι
μὲν αὐτοῖς οὐδαμιῶς, τῷ θεῷ δὲ καὶ τῇ πολιτείᾳ ζῶσι,
38 πρὸς ἣν ἐτάχθησαν. Καὶ ἡμεῖς γὰρ τῆς οἰκείας
ζωῆς καὶ ἡμῶν αὐτῶν ἐξιστάμεθα τῷ θεῷ· τόδε
ἐστὶ τὸ παλαιὸν ἀποβαλόντας εἶδος ὁμοίους αὐτῷ γενέσθαι,
καὶ τὸ σύμβολον οἰκεῖον καὶ τῇ τῶν Χριστιανῶν ἐπωνυμίᾳ
39 πάνυ προσῆκον. Χριόμεθα γὰρ, καὶ ᾧ ζητοῦμεν ἐοικέναι,
Χριστός ἐστι τῇ θεότητι τὴν ἀνθρωπότητα χρίσας,
ἐπεὶ καὶ αὐτοῦ τοῦ χρίσματος αὐτῷ κοινωνοῦμεν· καὶ γὰρ
τοῦ χρίσματος ἐκείνου τοῦτο τὸ χρίσμα σημεῖον, καὶ δεί-
κνυσιν ὁ τελῶν, δι' ὧν ἐπάδει χριομένῳ τῷ τελουμένῳ.
40 Ταῦτα γάρ ἐστιν ἐκεῖνα, δι' ὧν ὁ Δαβὶδ τὴν χρίσιν ἐκεί-
νην ἐμήνυσε καὶ τὴν βασιλείαν· ὁ μὲν γὰρ ἱερεὺς „χρίε-
ταί φησιν οὗτος — τὸν τελούμενον λέγων — ἔλαιον ἀγαλ-
λιάσεως·“ ὁ δὲ Δαβὶδ, „ἔχρισέ σέ, φησιν πρὸς τὸν σω-
τῆρα, ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς
μετόχους σου,“ μετόχους λέγων ἡμᾶς, οὓς διὰ φιλανθρω-
πίαν κοινωνοὺς ποιεῖται τῆς βασιλείας.
41 Μεχρὶ μὲν δὴ τούτων οὕπω ζῶμεν· σημεῖα γάρ ἐστι
ταῦτα τῷ τελουμένῳ καὶ προτέλειαί τινες καὶ προπαρα-
σκευαὶ τῆς ζωῆς. Ἐπειδὰν δὲ τῷ ὕδατι καλυφθεὶς τρισσῶς

---

37. *Ἐννοῶμεν γάρ.* B. *ἐννοῶ μέν.* Gen. 28. 22.
38. *παλαιὸν ἀποβαλόντας.* C. *ἀποβάλλοντας.*
40. *ἔχρισε σέ.* Ps. 44, 8. B. *ἔχρισέ σέ φησιν ὁ θεὸς πρὸς τὸν σωτῆρα ὁ θεός σου κτλ.*

ἀναδύῃ τῆς τριάδος ἐπαδομένης, τηνικαῦτα τὸ ζητούμενον
ἅπαν ὁ μεμυημένος λαμβάνει καὶ γεννᾶται καὶ πλάττεται
τὴν ἡμερίνην γέννησιν καὶ πλάσιν, ᾗ Δαβὶδ εἶπε, καὶ δέ-
χεται τὴν καλὴν σφραγῖδα καὶ πᾶσαν ἔχει τὴν ζητου-
μένην εὐδαιμονίαν καὶ γίνεται φῶς σκότος ὢν πρότερον,
καὶ ὑφίσταται μηδὲν ὢν, καὶ οἰκειοῦται καὶ υἱο-
θετεῖται θεῷ ἀπὸ δεσμωτηρίου καὶ δουλείας τῆς ἐσχάτης
ἐπὶ τὸν βασίλειον ἀγόμενος θρόνον. Τὸ γὰρ ὕδωρ τοῦτο 42
ζωὴν τὴν μὲν ἀπόλλυσι τὴν δὲ ἀναδείκνυσι, καὶ τὸν μὲν
παλαιὸν ἄνθρωπον ἀποπνίγει, τὸν δὲ νέον ἀνίστησι. Τοῦτο
δὲ μάλιστα μὲν τοῖς πεπειραμένοις ἀπ' αὐτῶν τῶν πρα-
γμάτων γίνεται δῆλον· ἔπειτα δὲ καὶ τὰ φαινόμενα τοῦ
μυστηρίου τοῦτο δίδωσι διὰ πάντων εἰκάζειν. Τῷ γὰρ 43
ὑποδῦντα τὸ ὕδωρ ἑαυτὸν ἀφανίσαι δοκεῖ φεύ-
γειν τὴν ἐν τῷ ἀέρι ζωὴν, τὸ δὲ φυγεῖν τὴν ζωὴν
τοῦτό ἐστιν ἀποθνήσκειν· τῷ δ' αὖθις ἀναδῦντα
τῷ ἀέρι καὶ τῷ φωτὶ συγγενέσθαι ζωὴν ἔοικε
διώκειν καὶ τυχόντα λαβεῖν. Διὰ τοῦτο καὶ τὸν 44
δημιουργὸν ἐνταῦθα καλοῦμεν, ὅτι ζωῆς ἀρχὴ τὰ παρόντα
καὶ δημιουργία δευτέρα πολλῷ τῆς προτέρας ἀμείνων.
Γράφεται γὰρ ἀκριβέστερον ἢ πρότερον ἡ εἰκὼν, καὶ ἀν-
δριὰς εἰς σαφέστερον τὸν θεῖον πλάττεται τύπον· διὰ τοῦτο
καὶ τὸ ἀρχέτυπον νῦν ἔδει καθαρώτερον προτεθῆναι. Τὸν 45
γὰρ θεὸν ἐπὶ τὸ λουτρὸν οἱ βαπτισταὶ καλοῦντες οὐ τὸ
θεὸς ὄνομα τὸ κοινὸν τῇ τριάδι βοῶσιν, ὅπερ οὔκ ἐστι
σαφῶς καὶ διακεκριμένως θεολογούντων, ἀλλ' ἀκριβέστε-
ρον καὶ τελεώτερον τὰς ἰδιότητας ἑκάστης τῶν ὑποστάσεων
ἀνυμνοῦσι. Καὶ μὴν καὶ δι' ἐκεῖνον τὸν λόγον. Εἰ γὰρ 46
μιᾷ φιλανθρωπίᾳ τὸ γένος ἔσωσεν ἡ τριὰς, ἀλλ' ὅμως τῶν

---

41. *ἀναδύῃ.* B. C. *ἀναδῇ.* — *ἡμερίνην γέννησιν.* Iustin. M. Apol. I, 61. Cyrill. Hier. l. c. p. 232.: *ἐν δὲ τῇ ἀναδύσει πάλιν ὡς ἐν ἡμέρᾳ ἐτυγχάνετε ὄντες.* Greg. Naz. l. c. p. 641.
43. *φυγεῖν τὴν ζωήν.* C. *φεύγειν.*
45. *οὔκ ἐστι σαφῶς.* B. *σοφῶς.*

ὑποστάσεων ἑκάστη τῶν μακαρίων ἰδίαν τινὰ λέγεται συντέλειαν εἰσενέγκαι. Ὁ μὲν γὰρ πατὴρ διήλλακται, ὁ δὲ υἱὸς διήλλαξε, τὸ δὲ πνεῦμα τὸ ἅγιον φίλοις ἤδη καταστᾶσι δῶρον ἐγένετο. Καὶ ὁ μὲν ἔλυσεν, ὁ δὲ τὸ λύτρον ἦν ᾧ λελύμεθα, τὸ δὲ πνεῦμα ἐλευθερία, „οὗ γὰρ τὸ
47 πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία,“ Παυλοῦ φωνή. Καὶ ὁ μὲν ἀνέπλασε, τῷ δὲ ἀνεπλάσθημεν, τὸ δὲ πνεῦμά ἐστι ζωοποιοῦν· ἐπεὶ καὶ κατὰ τὴν πρώτην δημιουργίαν ἡ τριὰς ὡς ἐν σκιαῖς ἐγράφετο. Ὁ μὲν γὰρ ἔπλασεν, ὁ δὲ χεὶρ ἦν τῷ πλάττοντι, ὁ δὲ παράκλητος πνεῦμα τὴν ζωὴν ἐμ-
48 φυσῶντι. Καὶ τί ταῦτα λέγω; Μόνῳ γὰρ ἐν τούτῳ τῶν θείων ἔργων ὁ θεὸς διεκρίθη. Πολλῶν γὰρ ὄντων, οἷς ἐκ τοῦ παντὸς αἰῶνος τὴν κτίσιν εὖ πεποίηκεν ὁ θεός, οὐκ ἂν εὕροις οὐδέν, ὃ πρὸς τὸν πατέρα ἀναφέρεται μόνον ἢ πρὸς τὸν υἱὸν ἢ πρὸς τὸ πνεῦμα, ἀλλὰ πάντα κοινὰ τῆς τριάδος, ὅτι μιᾷ δυνάμει καὶ προνοίᾳ καὶ δημιουργίᾳ
49 πάντα ποιεῖ. Ἐπὶ δὲ τῆς οἰκονομίας καὶ τὸ ἡμέτερον ἀνώρθωσε γένος, καὶ τοῦτο καινὸν ἐγένετο, καὶ τὴν ἐμὴν σωτηρίαν ἐβουλήθη μὲν ἡ τριὰς κοινῇ, καὶ ὅπως ἂν γένοιτο προὐνοήθη· ἐνεργεῖ δὲ οὐκέτι κοινῇ. Αὐτουργὸς γὰρ οὔτε ὁ πατὴρ οὔτε τὸ πνεῦμα, ἀλλὰ μόνος ὁ λόγος, καὶ μόνος ὁ μονογενὴς αἵματος ἠνέσχετο καὶ σαρκὸς καὶ ἐπλήγη καὶ ὠδυνήθη καὶ ἀπέθανε καὶ ἀνέστη, δι' ὧν ἡ φύσις ἀνεβίω καὶ τὸ βάπτισμα συνέστη, ἡ καινὴ γέννησις καὶ ἀνάπλα-
50 σις. Οὐκοῦν ταῖς ὑποστάσεσι διαιροῦντας ἐπὶ τοῦ θείου λουτροῦ τὸν θεὸν ἔδει καλεῖν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τὴν ἱερὰν πλάσιν κο-
51 μιζομένους, ἢ διακεκριμένον τὸν θεὸν ἀπέδειξε μόνη. Τί οὖν μὴ καὶ τὴν οἰκονομίαν καὶ μάλιστα ταύτην ἐπὶ τοῦ βαπτίσματος ἀνυμνοῦμεν; Πάνυ μὲν οὖν οὐ δι' ὧν λέγο-

---

47. οὗ γὰρ τό. 2 Cor. 3, 17.
49. καὶ τὸ ἡμέτερον. C. ἢ τ. ἡμ.
50. De hominis creatione ad singulas personas divinas referenda conf. v. c. Theodor. De s. Trin. diał. III, p. 1015. ed. Schulze.

μεν, ἀλλὰ δι' ων πράττομεν. Τὸ γὰρ καταδῦντα τρισσῶς ἀναδῦναι, τίς οὐκ οἶδεν, ὅτι τὸν τριήμερον θάνατου τοῦ σωτῆρος εἰσάγει καὶ τὴν ἀνάστασιν, ἃ τέλος ἐστὶ τῆς ὅλης οἰκονομίας! Καὶ οὐ μάτην οἶμαι τὴν μὲν θεολο- 52
γίαν βοῶμεν, τὴν δὲ οἰκονομίαν ἐπὶ τῶν ἔργων ἐπιδεικνύμεθα σιωπῇ. Τὸ μὲν γὰρ ἦν ἀπ' ἀρχῆς καὶ εἰς γνῶσιν ἀνθρώποις διὰ τῆς φωνῆς ἀφίκετο μόνης, τὸ δὲ ἐγένετο καὶ ὡράθη τοῖς τῶν ἀνθρώπων ὀφθαλμοῖς, ἁφῆς ἠνέσχετο καὶ χειρῶν· ὅθεν ὁ μακάριος Ἰωάννης καὶ ἄμφω ταῦτα τοῦτο κἀκεῖνο περὶ τοῦ διπλοῦ σωτῆρος γι-
νώσκων εἶπε μὲν, „ὃ ἦν ἀπαρχῆς ὃ ἀκηκόαμεν," ἐπήγαγε δὲ, „ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς." Ἔτι δὲ τὴν 53
μὲν θεολογίαν πιστεῦσαι δεῖ μόνον, καὶ ἡ ἐπίδειξις τῆς πίστεως ἐπὶ τῆς φωνῆς, — ἃ γὰρ εἰς δικαιοσύνην φησὶ πιστεύομεν τῇ καρδίᾳ, ταῦτα τῷ στόματι ὁμολογοῦμεν εἰς σωτηρίαν, — τὴν δὲ οἰκονομίαν καὶ μιμήσασθαι καὶ ἐπὶ τῶν ἔργων δεῖξαι πᾶσα ἀνάγκη· δεῖ γάρ φησιν „ἐξα-
κολουθῆσαι τοῖς ἴχνεσι" τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἀναστάντος.

Διὰ ταῦτα τοίνυν ἡ μὲν τριὰς ἐπὶ τῆς φωνῆς, τὸ δὲ 54
πάθος καὶ τὸν θάνατον διὰ τοῦ ὕδατος ἐν τῷ σώματι γράφομεν, συποῦντες ἡμᾶς αὐτοὺς εἰς τὸ μακάριον εἶδος ἐκεῖνο καὶ τὴν μορφήν. Οὐκ ἄδηλον μὲν οὖν ἐκ τῶν εἰρη- 55
μένων, ὅτι πανταχόθεν τῶν περὶ τὸ βάπτισμα θεωρουμέ
νων ἀπό σε τῆς τάξεως αὐτῆς τῶν τε ὀνομάτων, ὅθεν αὐτὸ καλοῦμεν, ἀπό τε τῶν ἐπ' αὐτῷ τελουμένων καὶ ῥομένων ἐκεῖνο γνώσκομεν, τὴν ἐν τῷ Χριστῷ ζωὴν ἀπὸ

---

51. Conf. Cyrill. Hieros. l. c. p. 232. Greg. Nyss. Orat. catech. cp. 35. Basil. M. de spir. s. cp. 15. Conf. Suicer. Thes. s. v. ἀναδύω.
52. ἀφῆς ἠνέσχετο. B. ἀφ' ἧς. — 1. Joh. 1, 1.
53. ἃ γὰρ εἰσ. Respicit verba Pauli Rom. 10, 10. ac deinde 1. Petr. 2, 21.
54. Vide Greg. Naz. Or. XL. p. 662.

56 τοῦ λουτροῦ τὴν ἀρχὴν τοῦ εἶναι λαμβάνειν. Τί δέ ἐστιν αὐτὸ τὸ εἶναι τὴν ζωὴν, λοιπὸν ἂν εἴη σκοπεῖν. Ἐπεὶ γὰρ τὰ μὲν ἀπολλύμεθα τὰ δὲ γινόμεθα, καὶ τὰ μὲν ῥίπτομεν τὰ δὲ σώζομεν, εἰ τί ἐστιν ἑκάτερον τούτων γένοιτο δῆλον, δῆλον ἂν εἴη, τί ἐστιν αὐτὸ τὸ κατὰ Χριστὸν ὑποστῆναι.

57 Ἔστι τοίνυν τὸ μὲν ἁμαρτία, τὸ δὲ δικαιοσύνη, καὶ τὸ μὲν ὁ παλαιὸς ἄνθρωπος, τὸ δὲ ὁ καινός. Μᾶλλον δὲ ἀκριβέστερον ἔτι περὶ τούτων σκοπῶμεν. Τῆς ἁμαρτίας διττῆς οὔσης καὶ εἰς ἄμφω χωρούσης, καὶ τῆς μὲν ἐν ταῖς ἐνεργείαις γενομένης, τῆς δὲ ἐν τῇ ἕξει συνισταμένης, ἡ ἐνέργεια αὐτὴ μὲν οὐ πάρεστιν ἐνίοτε οὐδὲ μένει, ἀλλ' εὐθύς τε ἐγένετο καὶ οὐκ ἔστι, καθάπερ βέλος ἅμα τῷ πλῆξαι παρελθὸν, καταλείπει δὲ τὸ τραῦμα τοῖς εἰργασμένοις, τοὺς τύπους τῆς κακίας καὶ τὴν αἰσχύνην

58 καὶ τὸ ὑπόχρεως εἶναι δίκης. Ἡ δὲ ἕξις ἀπὸ τῶν πονηρῶν ἐνεργειῶν, καθάπερ νόσος ἐκ διεφθαρμένης διαίτης ταῖς ψυχαῖς ἐντεθεῖσα, μόνιμός ἐστι καὶ δεσμοῖς ἀλύτοις τὴν ψυχὴν καταδεῖ καὶ δουλοῦται τὸ φρόνημα καὶ τὰ πάντων κάκιστα ἐργάζεται, τοὺς ἁλόντας εἰς τὰς πονηροτάτας ἐνεργείας ἐνάγουσα, δι' ὧν συνέστη καὶ ἃς ἑκάστοτε τίκτει, γεννωμένη καὶ γεννῶσα κατὰ ταὐτὸν ὥσπερ

59 ἐν κύκλῳ. Ὅθεν συνέβαινε τὴν ἁμαρτίαν ἀτελεύτητον εἶναι, τῆς ἕξεως μὲν τὰς ἐνεργείας ἀπογενυώσης, τῇ προσθήκῃ δὲ τῶν ἐνεργειῶν τῆς ἕξεως ἐπιδιδούσης· καὶ οὕτω δι' ἀλλήλων τῶν κακῶν ἀμφοτέρων ἀεὶ προχωρούντων „ἡ μὲν ἁμαρτία ἔζησεν, ἐγὼ δὲ ἀπέθανον,“ ἐπεὶ μηδὲ χθὲς καὶ πρώην ἤρξατο τὸ κακὸν,

60 ἀλλ' ἐξ οὗ γεγόναμεν. Ἀφ' οὗ γὰρ τῷ πονηρῷ πιστεύσας

---

55. ἀρχὴν τοῦ εἶναι. B. om. τοῦ.

57. περὶ τούτων σκοπῶμεν. B. ταῦτα. Ceterum de sententia hujus loci, qua peccati natura duplex atque propagatio explicatur, vide quae in priore parte diximus.

58. καὶ τὰ πάντων. B. κατὰ π. — κατὰ ταὐτάν. Ut saepius scriptor pro ταὐτό. B. male κατὰ ταύτην.

59. ἡ μὲν ἁμ. Rom. 7, 9. — C. om. ἡ μέν.

ο Ἀδὰμ τὰ ἑαυτοῦ τὸν δεσπότην περιεῖδε τὸν ἀγαθὸν καὶ τὴν γνώμην διεστράφη, καὶ ἡ ψυχὴ τὴν ὑγείαν ἐκείνην ἀπώλεσε καὶ τὴν εὐεξίαν, ἐξ ἐκείνου καὶ τὸ σῶμα συνέβη τῇ ψυχῇ καὶ ἥρμοσε, καὶ συνδιεστράφη καθάπερ ὄργανον τῇ τοῦ τεχνίτου χειρί. Κοινωνεῖ γὰρ ἡ ψυχὴ τῷ σώματι 61
τῶν πάθων τῷ ἄκρως ἡνῶσθαι· σημεῖον δὲ, καὶ γὰρ ἐρυθριᾷ μὲν αἰσχυνομένης τὸ σῶμα, τήκεται δὲ φροντίσι τῆς ψυχῆς πολιορκουμένης. Ἐπεὶ δὲ ἡ φύσις ἐχώρει καὶ προήει τὸ γένος ἀπὸ τοῦ πρώτου σώματος ἐκείνου προβαῖνον, διεδόθη καθάπερ ἄλλο τι τῶν φυσικῶν τοῖς ἐξ ἐκείνου σώμασι καὶ ἡ πονηρία. Ἐπεὶ δὲ οὐ παραπολαύει μόνον τὸ 62
σῶμα τῶν τῆς ψυχῆς πάθων, ἀλλὰ καὶ μεταδίδωσι τῶν αὐτοῦ, — καὶ χαίρει γὰρ ἡ ψυχὴ καὶ ἄχθεται, καὶ σωφρονικοί τινές εἰσι καὶ ἐλεύθεριοι τῷ διακεῖσθαι ὠδὶ τὸ σῶμα· — διὰ τοῦτο ἀκόλουθον ἦν, καὶ τὴν ἑκάστου ψυχὴν τῆς τοῦ πρώτου Ἀδὰμ κληρονομῆσαι κακίας ἀπὸ μὲν τῆς ψυχῆς ἐκείνου πρὸς τὸ σῶμα δοθείσης, ἀπὸ δὲ τοῦ σώματος τοῖς ἐξ ἐκείνου σώμασιν, ἀπὸ δ' αὐτῶν σωμάτων ἐπὶ τὰς ψυχὰς ἐρχομένης. Καὶ τοῦτό ἐστιν ὁ παλαιὸς 63
ἄνθρωπος, ὃν σπέρμα κακίας ἀπὸ τῶν προγόνων λαβόντες ἅμα τῷ φῦναι οὐδὲ μίαν ἡμέραν καθαρὰν εἴδομεν ἁμαρτίας οὐδ' ἀνεπνεύσαμεν ἐλεύθεροι πονηρίας, ἀλλ', ὅ φησιν ὁ προφήτης, „ἀπηλλοτριώθημεν ἀπὸ μήτρας, ἐπλανήθημεν ἀπὸ γαστρὸς,“ οὐ μέχρι τοῦ δυστυχοῦς ἐκείνου

---

61. *σημεῖον δὲ, καὶ γάρ.* C. om. *γάρ.* — Verba uncis inclusa *τοῖς σώμασι* nonnisi in C. leguntur. — *τῆς ψυχῆς πολιορκ.* In Xenoph. Memor. II. 1. p. 71. ed. Schn. legitur *τὸ σῶμα πολιορκεῖσθαι.*

62. *καὶ ἐλεύθεριοι.* B. male *ἐλεύθεροι.*

63. *ὁ προφήτης.* Ps. 57. 4. LXX.: *ἀπηλλοτριώθησαν οἱ ἁμάρτωλοι κτλ.* — *ἐκληρονομήσαμεν.* C. vitiose *ἐκληρονομίσωμεν.* — *ἀγαπήσαντες.* Vs. *nec haereditate malorum contenti fuimus.* Eodem sensu *ἀγαπᾶν* infra adhibetur VI, § 62. — *προγονικῆς ἁμαρτίας.* Simili modo peccatum habituale apud Eusthatium vocatur: *προγονικὴ κληρονομία, ἧς φθονὸς σατανικὸς ἡμᾶς ἐπήγαγε.* Demetrii mart. laud. Opusc. p. 172. 40.

κλήρου στάντες τῆς προγονικῆς ἁμαρτίας, οὐδ' οἷς ἐκληρονομήσαμεν ἀγαπήσαντες κακοῖς, ἀλλ' οὕτω σφόδρα τῇ κακίᾳ προσθέντες καὶ τὸν πονηρὸν αὐξήσαντες πλοῦτον, ὥστε τοῖς δευτέροις ἀποκρύψαι τὰ πρότερα καὶ τῶν παραδειγμάτων πολλῷ χείρους τοὺς μιμησαμένους ἀναδειχθῆναι.

64 Καὶ τὸ μέγιστον ἁπάντων, — οὐ γάρ τις ἐγένετο μεταξὺ διακωχὴ τοῦ κακοῦ, ἀλλὰ συνεχῶς ἡ νόσος ἐχώρει· ἴσως δὲ καὶ διὰ τοῦτον τὸν λόγον ἀμήχανον ἦν, τὸ γένος τῶν ἀνθρώπων αὐτὸ ἑαυτῷ πρὸς θεραπείαν ἀρκέσαι, μήτε γεγευμένον σχεδὸν οὐδὲ πώποτε τῆς ἐλευθερίας, μήτε, ἐπεὶ μὴ ἐπεπείρατο, δυνάμενον εἰς πόθον ἐλθεῖν καὶ τυχεῖν

65 ἐθελῆσαι καὶ κατὰ τῆς τυραννίδος διαναστῆναι. Τούτων τῶν χαλεπωτάτων δεσμῶν, ταύτης τῆς δίκης, τῆς νόσου, τοῦ θανάτου τὸ λουτρὸν ἀπαλλάττει, οὕτω μὲν ῥαδίως, ὡς μηδὲ χρόνου δεηθῆναι, οὕτω δὲ παντάπασι καὶ τελείως, ὥστε μηδὲ ἴχνος λειφθῆναι, καὶ οὐ πονηρίας ἀπαλλάττει μόνον, ἀλλὰ καὶ τὴν ἐναντίαν ἕξιν παρ-

66 έχει. Αὐτὸς γὰρ ὁ δεσπότης δι' ὧν ἀπέθανεν, ἔδωκεν ἡμῖν ἐξουσίαν ἀποκτεῖναι τὴν ἁμαρτίαν, δι' ὧν δὲ ἀνεβίω, τῆς καινῆς ζωῆς ἐποίησε κληρονόμους. Ὁ γὰρ θάνατος ἐκεῖνος, καθόσον μὲν αὐτὸ τοῦτο θάνατος ἦν, τὴν πονηρὰν ζωὴν ἀποκτείνει, καθόσον δέ ἐστι δίκη, τὰς εὐθύνας λύει τῶν ἁμαρτημάτων, ὧν διὰ τὰς πονηρὰς ἐνεργείας ἕκαστος ὑπόχρεως ἦμεν.

67 Καὶ τοῦτον τὸν τρόπον τῆς ἕξεως καὶ τῆς ἐνεργείας συμπάσης ἁμαρτίας τὸ λουτρὸν καθαροὺς ἀποφαίνει, καθόσον κοινωνοὺς ποιεῖ τοῦ ζωοποιοῦ τούτου θανάτου. Ἐπεὶ δὲ καὶ τῆς ἀναστάσεως μετέχομεν διὰ τὸ λουτρόν, ζωὴν ἡμῖν ὁ Χριστὸς δίδωσιν ἄλλην καὶ μέλη πλάττει καὶ δυνάμεις ἐντίθησιν, ὧν δεήσει πρὸς τὸν μέλ-

---

64. διακωχή. **Pravae hujus affectionis animi, quae alit peccatum, intermissio cum belli indutiis comparatur. Adi Steph. Thes. s. v.**

66. θάνατος ἦν. **C. add. τὴν ἕξιν τῆς ἁμαρτίας.**

λοντα βίον ἀφικομένοις. Διὰ τοῦτο γὰρ τῶν ἐγκλημάτων 68
ἀθρόον λύομαι καὶ τὴν ὑγείαν αὐτίκα λαμβάνω, μάλιστα
μὲν ὅτι θεοῦ καθαρῶς ἔργον, ὃν οὐκ ἔνι χρόνῳ δουλεύειν,
ἔπειτα οὐδὲ νῦν εὖ ποιεῖ τὸ γένος, ἵνα καὶ χρόνου δεήσῃ,
ἀλλ' εὖ πεποίηκεν. Οὐ γὰρ νῦν δίδωσι τὴν δίκην ὧν
ἥμαρτον ὁ δεσπότης, οὐδὲ νῦν κατασκευάζει τὴν ἰατρείαν
καὶ μέλη πλάττει καὶ δυνάμεις ἐντίθησιν, ἀλλ' ἔπλασε καὶ
ἐνέθηκε καὶ κατεσκεύασεν. Ἀφ' οὗ γὰρ εἰς τὸν σταυρὸν 69
ἀνέβη καὶ ἀπέθανε καὶ ἀνέστη, ἡ ἐλευθερία τῶν ἀνθρώ-
πων κατέστη, καὶ τὸ εἶδος καὶ τὸ κάλλος συνέστη, καὶ ἡ
καινὴ μορφὴ καὶ τὰ νέα μέλη κατεσκευάσθη. Νῦν δὲ
προσελθεῖν δεῖ μόνον καὶ προσαγαγεῖν ταῖς χάρισι· καὶ
τοῦτο ἡμῖν δύναται τὸ λουτρὸν, συνάψαι τοὺς νεκροὺς τῇ
ζωῇ, τῇ ἐλευθερίᾳ τοὺς δεδεμένους, τοὺς διεφθαρμένους
τῇ μακαρίᾳ μορφῇ. Τὸ λύτρον ἐδόθη, νῦν λυόμεθα μό- 70
νον· τὸ μύρον ἐχέθη, καὶ ἡ εὐωδία τὸ πᾶν κατέσχε· πνεῦ-
σαι λείπεται μόνον, μᾶλλον δὲ οὐδὲ πνεῦμα. Καὶ γὰρ τὸ
δύνασθαι πνεῦσαι παρὰ τοῦ σωτῆρος κατεσκευάσθη, καὶ
τὸ δύνασθαι λυθῆναι καὶ τὸ δύνασθαι φωτισθῆναι. Καὶ 71
γὰρ οὐ φῶς ἀνέτειλε μόνον εἰς τὸν κόσμιον ἐλθὼν, ἀλλὰ
καὶ ὀφθαλμὸν κατεσκεύασε, καὶ οὐ τὸ μύρον ἐξέχεε μόνον
ἀλλὰ καὶ αἴσθησιν ἔδωκε· νῦν δὲ τὸ ἱερὸν τοῦτο λουτρὸν
ταύταις ταῖς αἰσθήσεσι καὶ ταῖς δυνάμεσι τοὺς λελουμένους
συνάπτει. Καθάπερ γὰρ ὕλη ἀνείδεος καὶ ἄμορφος εἰς τὸ
ὕδωρ καταδυόμενοι τοῦτο ἐν αὐτῷ τῷ καλῷ περιτυγχάνο-
μεν εἴδει.

Διὰ ταῦτα πάντα ἡμῖν ἀθρόον ἀνατέλλει τὰ ἀγαθά· 72
προκατεσκεύασται γάρ, „τὸ ἄριστόν μου ἡτοίμασται, οἱ

---

70. καὶ ἡ εὐωδία. Greg. Naz. l. c. Or. XL. p. 666. Dionys. Hier. coel. cp. 1, p. 2. 13. εὐωδιάζειν καὶ μυροῦν ap. Eust. Opusc. p. 151, 20. — καὶ γὰρ τὸ δυν. C. καὶ γὰρ καί.

71. ὕλη ἀνείδεος. B. ἀνάθεος. Greg. Naz. l. c. p. 662. Εἰ λέπραν ἔβρυες τέως τὴν ἄμορφον πονηρίαν, ἀπεξέσθης δὲ τῆς κακῆς ὕλης καὶ τὴν σὼαν ἀπέλαβες.

72. τὸ ἄριστον. Matth. 22, 7. ubi vero textus h. ἡτοίμασα.

ταῦροί μου καὶ τὰ σιτιστά φησι τεθυμένα καὶ πάντα ἕτοιμα, δεῦτε εἰς τοὺς γάμους.“ Τοῦτο τῇ ἑορτῇ λείπεται μόνον, ἀπαντῆσαι τοὺς κεκλημένους· ἀπαντήσασι δὲ τίνος
73 ἔτι δεήσει πρὸς τὴν εὐδαιμονίαν; Οὐδενὸς ἤδη. Ἐπὶ μὲν γὰρ τοῦ μέλλοντος αἰῶνος παρασκευασάμενοι προσερχόμεθα τῷ Χριστῷ, νῦν δὲ παρασκευαζόμεθα προσελθόντες· τότε μὲν γὰρ ἀνάγκη πάντα ἔχοντας προσελθεῖν, ἐπὶ δὲ τοῦ παρόντος ἀνάγκη προσελθόντας πάντα λαβεῖν. Διὰ τοῦτο τηνικαῦτα μὲν ταῖς μωραῖς τῶν παρθένων οὐκ εἰσιτητὸς ὁ νυμφὼν, ἐπὶ δὲ τοῦ παρόντος αἰῶνος τοὺς ἄφρο-
74 νας ἐπὶ τὴν εὐωχίαν καὶ τὴν φιλοτησίαν καλεῖ. Τότε μὲν γὰρ οὐκ ἔστι, νεκρὸν ἀναβιῶναι καὶ τυφλὸν βλέψαι καὶ διεφθαρμένον ἀναπλασθῆναι, τῷ δὲ βίῳ τούτῳ θελήσεως δεῖ μόνον καὶ προθυμίας, καὶ τὰ πάντα ἀκολουθεῖ· „ἦλθον γάρ φησιν εἰς τὸν κόσμον, ἵνα ζωὴν ἔχωσι,“ καὶ
75 „φῶς εἰς τὸν κόσμον ἐλήλυθα.“ Καὶ τοῦτο δὲ τῆς ἀῤῥήτου φιλανθρωπίας, τὸ πάντα αὐτὸν εἰργασμένον, δι᾽ ὧν ἐλύθην, καταλιπεῖν τι καὶ ἡμῖν εἰς τὴν ἐλευθερίαν εἰσενεγκεῖν, αὐτὸ τὸ πιστεῦσαι τῷ βαπτίσματι τὴν σωτηρίαν καὶ θελῆσαι προσελθεῖν, ἵνα ἀπὸ τούτων ἡμῖν τὸ πᾶν λογισθῇ, καὶ ὧν αὐτὸς εὖ πεποίηκε, καὶ τούτων ὀφείλῃ χάριν. Καὶ τοίνυν ἐπειδὰν συμβῇ λελουμένους εὐθὺς ἀπελθεῖν, μηδὲν ἕτερον ἐπαγομένους ἢ τὴν σφραγῖδα, ἐπὶ τοὺς στεφάνους καλεῖ καθάπερ ὑπὲρ τῆς βασιλείας ταύτης ἠγωνισμένους.
76 Ὧν μὲν οὖν τὸ βάπτισμα καὶ ὅπως τὰς ψυχὰς ἀπαλλάττει, ταῦτά ἐστιν· ἐπεὶ δὲ καὶ ζωήν τινα παρέχει διὰ τὸν ἀναστάντα, ζητῶμεν τίς ἐστιν ἡ ζωή. Ἔστι μὲν οὖν εἰκὸς μὴ ταύτην εἶναι, καθ᾽ ἣν πρότερον ἔζωμεν, καλλίω
77 δὲ τῆς προτέρας, οἰκείαν δὲ τῇ φύσει. Εἰ μὲν γὰρ τὴν

---

74. καὶ τὰ πάντα ἀκολ. C. ταῦτα π. — Joh. 10, 10. et 3, 19.: τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον.

75. ἀῤῥήτου. C. add. τοῦ θεοῦ. — εὐθὺς ἀπελθεῖν, de vita decedere ut I. §. 5. πρὶν ἀπελθεῖν.

76. τίς ἐστιν. B. τί.

προτέραν καὶ νῦν ἔχομεν, τί ἔδει καὶ ἀποθνήσκειν; εἰ δὲ
ἄλλην τὰ αὐτὰ δυναμένην, τοῦτο μὲν οὖν οὐκ ἦν ἀνα-
στῆναι; εἰ δὲ τὴν ἀγγελικὴν, τί κοινὸν ἡμῖν πρὸς ἐκείνους;
Ἄνθρωπος γὰρ ὁ πεσών· τὸ δὲ ἀνθρώπου πεσόντος ἄγγε-
λον εἶναι τὸν ἀνιστάμενον, τὸν ἄνθρωπον οὐκ ἦν ἀνα-
πλάττεσθαι. Παραπλήσιον γὰρ ὥσπερ εἰ συντριβέντος ἀν- 78
δριάντος οὐκ ἀνθρώπου μορφὴ, ἀλλ' εἶδος ἕτερον ἐπετίθετο
τῷ χαλκῷ· τοῦτο γὰρ ἦν ὁτιοῦν ἄλλο πλάττειν, οὐ τὸν
ἀνδριάντα ἀναπλάττειν. Διὰ ταῦτα ἀκόλουθόν ἐστι, τὴν
ζωὴν ταύτην ἀνθρωπείαν τε εἶναι καὶ νέαν καὶ τῆς προ-
τέρας καλλίω· ταῦτα δὲ πάντα μόνῃ συμβαίνει τῇ τοῦ
σωτῆρος ζωῇ. Καινὴ μὲν γὰρ, ὅτι πρὸς τὴν παλαιὰν 79
οὐδὲν κοινὸν εἶχε, καλλίων δὲ οὐδ' ὅσον ἐνθυμηθῆναι,
θεοῦ γὰρ, τῇ φύσει δὲ οἰκεία. Καὶ γὰρ ἦν ἀνθρώπου
ζωὴ, καὶ ὁ ταύτην βιοὺς καθάπερ θεὸς, οὕτω καὶ ἄνθρω-
πος ἀληθῶς καὶ τῆς φύσεως ἕνεκα τῆς ἀνθρωπείας καθα-
ρὸς ἁπάσης ἦν ἁμαρτίας· τούτων ἕνεκα πᾶσα ἀνάγκη τὴν
τοῦ Χριστοῦ ζωὴν ἀναγεννωμένοις ἡμῖν ἀνατέλλειν, διὰ
τοῦτο καὶ ἀναμάρτητοι τοῦ ὕδατος ἀπαλλαττόμεθα τούτου.
Ἔτι δὲ καὶ ὧδε γίνεται δῆλον. Ἡ γὰρ ἐν τῷ βαπτίσματι 80
γέννησις ἀρχὴ τῆς μελλούσης ἐστὶ ζωῆς, καὶ ἡ τῶν καιν-
ῶν μελῶν καὶ τῶν αἰσθήσεων κομιδὴ τῆς ἐκεῖ διαίτης
παρασκευή· παρασκευάσασθαι δὲ πρὸς τὸ μέλλον οὐκ
ἔστιν ἑτέρως, ἢ τὴν τοῦ Χριστοῦ ζωὴν ἐνθένδε ἤδη λα-
βόντας, ὃς πατὴρ ἐγένετο τοῦ μέλλοντος αἰῶνος ὥσπερ ὁ
Ἀδὰμ τοῦ παρόντος· τῆς γὰρ ἐν φθορᾷ ζωῆς αὐτὸς ἡγή-
σατο τοῖς ἀνθρώποις. Καθάπερ γὰρ οὐκ ἔνι βιῶναι τόνδε 81
τὸν βίον τὸν ἀνθρώπινον, μὴ τὰς αἰσθήσεις τοῦ Ἀδὰμ
καὶ τὰς περὶ τὸ ζῆν δυνάμεις ταύτας δὴ τὰς ἀνθρωπείας
λαβόντα· τὸν ἴσον τρόπον οὐδὲ πρὸς τὸν μακάριον ἐκεῖνον
κόσμον ζῶντα χωρῆσαι, μὴ τῇ τοῦ Χριστοῦ ζωῇ παρεσκευ-
ασμένον καὶ κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα

78. *τὴν ζωὴν ταύτην.* **B.** om. *τήν.*
79. *οὐδὲν κοινόν.* **C.** *κοινὸν οὐδέν.*

82 πλασθέντα. Καὶ ἄλλως δὲ γέννησίς ἐστι τὸ λουτρόν. Καὶ γεννᾷ μὲν ἐκεῖνος, γεννώμεθα δὲ ἡμεῖς· τῷ δὲ γεννωμένῳ παντί που δῆλον, ὡς ἄρα τὴν ἑαυτοῦ ζωὴν ἐντίθησιν ὁ
83 γεννῶν. Ἐνταῦθα δὲ καὶ θαυμάσαι τις ἄν. Οὐ γὰρ οἱ λελουμένοι μόνον, ἀλλ' ἤδη οἷς οὐκ ἐξεγένετο παρασκευασθῆναι πρὸς τὸν ἀθάνατον βίον τῇ δυνάμει τῶν μυστηρίων, καὶ ἁπλῶς ἄνθρωποι πάντες ἀγήρω κομιοῦνται τὰ σώματα καὶ ἀναστήσονται ἄφθαρτοι.
84 Θαυμαστὸν γὰρ, εἰ μετέσται τῆς ἀναστάσεως, ἣν ὁ τοῦ Χριστοῦ θάνατος μόνος εἰσήνεγκεν εἰς τὸν κόσμιον, τοῖς μὴ τὸ λοῦτρον δεξαμένοις, ᾧ κοινωνοῦμεν τοῦ ζωοποιοῦντος θανάτου. Εἰ γὰρ τὸν ἰατρὸν ἔφυγον καὶ τὴν βοήθειαν οὐκ ἐδέξαντο καὶ τὸ μόνον ἀπεσείσαντο φάρμακον, τί λοι-
85 πὸν ἦν, ὃ πρὸς τὴν ἀθανασίαν αὐτοῖς ἀρκέσει; Καὶ δοκεῖ δυοῖν θάτερον εἰκὸς εἶναι συμβαίνειν, ἢ πάντων ἐξῆς ἀπολαύειν ἀπάντας, ὧν ὁ Χριστὸς ἡμῖν αἴτιος ἐγένετο ἀποθνήσκων, καὶ συναναστῆναι καὶ συζῆν αὐτῷ καὶ συμβασιλεύειν καὶ τὴν ἄλλην ἔχειν εὐδαιμονίαν, — εἴ γε δεῖ τῶν παρ' ἡμῶν οὐδενὸς, — ἢ, εἰ πᾶσα ἀνάγκη καὶ ἡμᾶς ὁτιοῦν εἰσφέρειν, — τοὺς μὴ τὴν πίστιν εἰσενεγκόντας τῷ σωτῆρι μηδὲ ἀναβιῶναι.
86 Ἔστι τοίνυν ἐκεῖνο περὶ τούτων εἰπεῖν. Ἡ ἀνάστασις φύσεώς ἐστιν ἐπανόρθωσις· τὰ δὲ τοιαῦτα προῖκα δίδωσιν ὁ θεός. Ὥσπερ γὰρ πλάττει μηδὲ βουλομένους, οὕτω ἀναπλάττει μηδὲν προεισενεγκόντας· ἡ δὲ βασιλεία ἐκείνη καὶ ἡ τοῦ θεοῦ θεωρία καὶ τὸ συνεῖναι Χριστῷ τρυφή ἐστι τῆς θελήσεως.
87 Διὰ τοῦτο τοῖς θελήσασι καὶ ἠγαπήκοσι καὶ ποθήσασιν ἔξεστι μόνοις· τούτους μὲν γὰρ καὶ τρυφᾶν ἀκόλουθόν ἐστι τῶν ποθουμένων παρόντων, τὸν δὲ μὴ βουληθέντα
88 ἀμήχανον. Πῶς γὰρ ἂν καὶ τρυφᾶν δύναιτο καὶ χαίρειν παρόντων, ὧν οὐκ ἔλαβε πόθον ἀπόντων, ἐπεὶ μηδὲ

---

83. ἀλλ' ἤδη. C. add. καί. πάντες ἀγήρω. Conf. lib. I. §. 8.
84. καὶ τ. μ. ἀπεσ. altera manu margini adscripta.

ἐπιθυμῆσαι τηνικαῦτα δύναιτ' ἂν καὶ ζητῆσαι τυχεῖν, ὅτι οὐχ ὁρᾷ τὸ κάλλος ἐκεῖνο, καὶ ὃ φησιν ὁ κύριος „οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό," τυφλὸς ἐντεῦθεν εἰς τὸν βίον ἐκπεσὼν ἐκεῖνον καὶ πάσης αἰσθήσεως καὶ δυνάμεως ἀπεστερημένος, δι' ὧν ἔξεστι καὶ γνῶναι τὸν σωτῆρα καὶ φιλῆσαι καὶ θελῆσαι συνεῖναι καὶ ἑνωθῆναι. Διὰ τοῦτο οὐ χρὴ θαυμάζειν, εἰ ζήσονται 89
μὲν ἀθάνατα πάντες, οὐ πάντες δὲ μακαρίως· ὅτι τῆς μὲν περὶ τὴν φύσιν ἁπλῶς τοῦ θεοῦ προνοίας ἀπολαύουσι πάντες ὁμοίως, τῶν δὲ τὴν θέλησιν κοσμούντων δώρων μόνοι τῶν ἄλλων οἱ περὶ θεὸν εὐσεβεῖς. Ὁ δὲ λόγος, ὅτι 90
πᾶσι μὲν ὁ θεὸς ἅπαντα βούλεται ἀγαθὰ καὶ πάντων ὁμοίως μεταδίδωσι τῶν αὐτοῦ, καὶ ὅσα τὴν θέλησιν εὖ ποιεῖ καὶ ἃ τὴν φύσιν ἐπανορθοῖ, ἡμεῖς δὲ τῶν μὲν εἰς τὴν φύσιν τοῦ θεοῦ χαρίτων, ἐπεὶ μὴ δυνώμεθα φεύγειν, καὶ μὴ βουλόμενοι τυγχάνομεν πάντες. Καὶ γὰρ καὶ ἄκοντας εὐ ποιεῖ καὶ βιάζεται φιλανθρώπως, ὁπόταν ἀποσείσασθαι τὴν εὐεργεσίαν βουλώμεθα μέν, οὐ δυνώμεθα δέ.

Τοιοῦτον δὲ τὸ τῆς ἀναστάσεως δῶρον. Οὐ γὰρ 91
ἐφ' ἡμῖν ἐστιν οὔτε τὸ γεννηθῆναι οὔτε τὸ ἀποθανόντας ἀναβιώσκεσθαι πάλιν ἢ τοὐναντίον. Ἃ δὲ τῆς θελήσεως τῆς ἀνθρωπείας ἐξήρτηται, λέγω δὴ τὸ ἐλέσθαι τὸ ἀγαθὸν, ἁμαρτιῶν ἄφεσις, ἦθους ὀρθότης, ψυχῆς καθαρότης, θεοῦ φίλτρον, τὸ τούτων ἅθλον ἡ ἐσχάτη μακαριότης. Ταῦτα 92
δὲ ἐφ' ἡμῖν ἐστι λαβεῖν ἢ φυγεῖν, ὅθεν βουλομένοις μὲν ἔξεστι, μὴ βουλομένοις δὲ πῶς ἂν γένοιτο αὐτῶν ἀπολαύειν; Οὐ γὰρ ἔστιν ἄκοντας ἐθέλειν οὐδὲ βιάζεσθαι βουλομένους, ἔτι δὲ δι' ἐκεῖνον τὸν λόγον. Ἐπεὶ γὰρ μόνος 93
ἔλυσεν ὁ κύριος τὴν μὲν φύσιν τῆς φθορᾶς, τὴν δὲ γνωμὴν τῆς ἁμαρτίας, τὸ μὲν πρωτότοκος γενόμενος τῶν νε-

88. ἐπιθυμῆσαι — ζητῆσαι. In C. participium legitur ἐπιθυμήσας et ζητήσας. Idem paulo post h. δύνατος λαβεῖν. Joh. 14, 17.

91. τῆς ἀνθρωπείας. B. ἀνθρωπίνης.

92. ἔτι δὲ. C. add. καί.

κρῶν, τὸ δὲ πρόδρομος ὑπὲρ ἡμῶν εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων, ἅτε τὴν ἁμαρτίαν ἀποκτείνας καὶ τὸν θεὸν ἡμῖν διαλλάξας καὶ τὸ μεσότειχον καταλύσας καὶ ὑπὲρ ἡμῶν ἑαυτὸν αὐτὸς ἁγιάσας, ἵνα καὶ ἡμεῖς ὦμεν ἡγιασμένοι ἐν ἀληθείᾳ· φανερὸν ὅτι μόνοι λύοιντο ἂν εἰκότως καὶ τῆς φθορᾶς καὶ τῆς ἁμαρτίας οἱ καὶ θελήσεως αὐτῷ καὶ φύσεως μετασχόντες, τὸ μὲν ὡς ἄνθρωποι, τὸ δὲ ὡς ἠγαπηκότες τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὸ πάθος καὶ τοῖς
94 προστάγμασι πεισθέντες καὶ θελήσαντες ἅπερ ἐκεῖνος. Οἱ δὲ τὸ μὲν εἶχον, τὸ δὲ οὐκ ἐδέξαντο, — καὶ τὸ μὲν ἀνθρώποις εἶναί σφισι συνέβη, πιστεύειν δὲ τῷ σωτῆρι τὴν σωτηρίαν καὶ κοινωνεῖν τῷ ἁγάθῳ τῆς γνώμης οὐκέτι, — τούτους τῆς μὲν ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τῶν ἐπὶ δικαιοσύνῃ στεφάνων ἐκπίπτειν ἀκόλουθόν ἐστι τῇ γνώμῃ διισταμένους, λυθῆναι δὲ τὴν ἑτέραν ἐλευθερίαν καὶ ἀναστῆναι τῆς φύσεως τῆς αὐτῆς ὡς ἀνθρώπῳ τῷ Χριστῷ γε-
95 νομένους οὐδὲν κωλύει. Τὸ γὰρ βάπτισμα τῆς ἐν Χριστῷ μακαρίας ζωῆς αἴτιόν ἐστι μόνον, οὐ τῆς ζωῆς· ἁπλῶς γὰρ τὴν ἀθάνατον ζωὴν τὸ τὸν Χριστὸν
96 τεθνάναι καὶ ἀναβιῶναι πάρεσχεν ὁμοίως. Διὰ τοῦτο ἡ μὲν ἀνάστασις κοινόν ἐστι δῶρον πᾶσιν ἀνθρώποις, ἄφεσις δὲ ἁμαρτιῶν καὶ οἱ ἐν οὐρανοῖς στέφανοι καὶ ἡ βασιλεία ἐκείνων γίνεται μόνων, οἷς ὑπῆρξε προεισενέγκαι τὴν ὀφειλομένην συντέλειαν, οἳ τάττουσιν ἑαυτοὺς ἐνθένδεν, ὡς ἔστιν οἰκείως ἔχειν πρὸς τὸν βίον ἐκεῖνον καὶ τὸν νυμ-
97 φίον· γεννώμενοι μὲν καινῶς, ὅτι καινὸς ἐκεῖνος Ἀδάμ, κάλλει δὲ λάμποντες καὶ τὴν ὥραν σώζοντες, ἣν αὐτοῖς ἐνεποίησε τὸ λουτρὸν, ὅτι „ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων,“ καὶ τὴν μὲν κεφαλὴν ἐστῶσαν ἔχοντες, οἷαι τῶν ὀλυμπιονίκων, ὅτι στέφανός ἐστιν, ὦτα δὲ ὅτι λόγος, ὀφθαλμοὺς δὲ ὅτι ἥλιος, ὄσφρησιν δὲ ὅτι καὶ μύρον

---

94. *οὐδὲν κωλύει.* C. *κωλύειν.*

97. *ὡραῖος κάλλει.* Ps. 44, 3. *μύρον ἐκνέ.* Cant. 1, 3.

ἐστὶν ὁ νυμφίος καὶ μύρου ἐκκενωθὲν, σεμνοὶ δὲ καὶ ἐπὶ
τῶν ἱματίων διὰ τὸν γάμιον.

Εἶεν. Ταῦτα δὲ καὶ πρὸς ἕτερον φέρει ζήτημα δίκαιον 98
ὂν μὴ περιῶφθαι. Εἰ γὰρ τὸ μὲν ἐθέλειν καὶ πιστεῦσαι
καὶ προσελθεῖν τῶν τοῦ βαπτίσματος δώρων ἐπιτυχεῖς γε-
γεννῆσθαι παρασκευάζει, τὸ δὲ ταῦτα φεύγειν καὶ τὴν
μακαριότητα πᾶσαν ἐκείνην φεύγειν ἐστὶν, τοὺς μετὰ τὸ
λαβεῖν ῥίψαντας καὶ τῆς γνώμης τῆς προτέρας ἑαυτοὺς
μεμψαμένους καὶ τὸν Χριστὸν ἠρνημένους, ἐπειδὰν εἰς
τὴν ἐκκλησίαν, ἐφ' οἷς ἠνόμησαν, μεταγνόντες
αὐτομολῶσιν, ὁ ἱερὸς θεσμὸς, — ἀκόλουθον ὂν ἐπὶ
τὸ λουτρὸν αὐτοὺς ἄγειν καὶ τὰ μυστικὰ τελεῖν ἐξ ἀρχῆς
ὡσὰν τὸ πᾶν ἀπολωλοκότας, — ὁ δὲ τῷ θείῳ μύρῳ τὰ
σώματα αὐτοῖς ἀποσημηνάμενος καὶ μηδὲν πλέον προσθεὶς
τοῦ κύκλου γράφεται τῶν πιστῶν· — τί οὖν πρὸς ταῦτα
εἴποι τις ἄν; Ἢ δυοῖν τούτων ἡμῖν τὴν πρὸς θεὸν εὐσέ- 99
βειαν δυναμένων, τοῦ τε λαβεῖν ὀφθαλμιὸν ἀπὸ τῶν μυ-
στηρίων, τοῦ τε χρῆσθαι καὶ πρὸς τὴν ἀκτῖνα ἐκείνην ὁρᾶν,
τοῖς προδεδωκόσι τὸν Χριστιανισμὸν τὸ μὲν ἀπόλλυται τὸ
δεύτερον, ἐκεῖνο δὲ μένει, λέγω δὴ τὴν πρὸς τὸ βλέπειν
ἐπιτηδειότητα καὶ παρασκευήν. Αἴτιον δὲ ὅτι τὸ μὲν 100
ἀποβαλεῖν ἔξεστι βουλομένοις, ἡμέτερον γὰρ ἡ στέρξαι
τὸν ἥλιον ἢ πρὸς τὴν ἀκτῖνα μύσαι τὸν ὀφθαλμιόν· τό
γε μὴν αὐτὸν ἐκκόψαι τὸν ὀφθαλμιὸν καὶ τὴν πλάσιν
ἐκείνην παντάπασι διαφθεῖραι τῶν ἀμηχάνων ἡμῖν. Εἰ 101
γὰρ τῶν ἐν τῇ ψυχῇ δυνάμεων, μεθ' ὧν ἡμᾶς ἡ φύσις
ἐγέννησεν, οὐδ' ἡντινοῦν δυνάμεθα λύειν, ἥκιστα δὴ πάν-
των ἦν ἡμῖν ἀναγεννῶν αὐτὸς ἀμέσως ἐνέθηκεν ὁ θεός·
ἐπεὶ καὶ αὐτὸ τὸ ἐν ἡμῖν ἡγούμενον, ὅτι ποτέ ἐστι, πλάτ-
τει καὶ διατίθησι τὸ λουτρὸν, — εἴτε λόγου καὶ γνώμης

98. *ἀκόλουθον — λουτρόν.* C. add. *εὐθύς.* Conf. de antiquo haereticorum baptismo commentationem meam: Justins Fragen an die Rechtgläubigen (Illgen's Zeitschr. XII, 4.) p. 120, de recentiorum Graecorum usu L. Allat. de perp. cons. XVI, p. 1262. Heineccii Abbildung Th. II, p. 256.

αὐτονομίαν εἰ δ' ἕτερον ὁτιοῦν χρὴ τοῦτο νομίσαι, ᾧ πᾶσα μὲν εἴκει δύναμις τῆς ψυχῆς καὶ πρὸς τὴν ἐκείνου φέρεται κίνησιν, — ἐπιτάττει δὲ οὐδὲν οὐδὲ δύναται μεταβάλλειν, ἀλλ' οὐδὲ αὐτὸ ἑαυτό· κρεῖττον γὰρ οὐδὲν γένοιτ' ἂν ἑαυ-
102 τοῦ, καὶ μὴν οὐδὲ τὸν θεὸν εἰκός. Οὐ γὰρ ἀφέλοιτ' ἂν ὧν ἡμῖν κατέθετο δώρων οὐδέν· „ἀμεταμέλητα γὰρ τὰ χαρίσματά φησι τοῦ θεοῦ," καὶ ὅλως ἄπειρος ἀγαθότητος ὢν βούλεται πᾶν ἡμῖν ἀγαθὸν καὶ δίδωσί γε ἀλύτου τῆς
103 τοῦ αὐτεξουσίου προεδρίας ὑποκειμένης. Τοιοῦτον δὲ τὸ τοῦ βαπτίσματος ἀγαθόν. Οὐ γὰρ ἄγχει τὴν γνώμην οὐδὲ κατέχει, ἀλλὰ δύναμις οὖσα τοὺς μὲν χρωμένους οὐδὲν ἐκώλυσε μεῖναι πονηροὺς, καθάπερ καὶ τὸ σῶν ἔχειν τὸν ὀφθαλμὸν οὐκ ἂν προσταίη τοῖς ἐν σκότει ζῆν βουλομένοις· καὶ δῆλον αὐτόθεν, αὐτοὶ γὰρ οὗτοι μάρτυρες σαφεῖς οἱ μετὰ τὸ λούσασθαι καὶ τὰ ἐκεῖθεν πάντα λαβεῖν εἰς τὴν ἐσχάτην ἀσέβειαν καὶ μοχθηρίαν ἐξενεχθέν-
104 τες. Διὰ ταῦτα τοίνυν τῷ μὴ τὰς ἐντεθείσας ἀποθέσθαι δυνάμεις πλάσεως δευτέρας οὐ δεομένους ὁ ἱερεὺς λούει μὲν οὐδαμῶς, χρίων δὲ πνευματικὴν ἐνίησι χάριν εὐσεβείας οἶμαι καὶ φόβου θεοῦ καὶ ἀγάπης καὶ τῶν τοιούτων, ἃ τὴν προτέραν αὐτοῖς ἀνακαλεῖσθαι δύναται γνώμην· τοιαῦτα γὰρ τοῖς τελουμένοις ἔχει τὸ μύρον. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον· ἐπὶ δὲ τὰ ἑξῆς τοῦ λόγου χωρῶμεν.

105 Φανερὸν μὲν οὖν ἐκ τῶν εἰρημένων ὡς ἄρα τὴν ζωὴν τοῦ Χριστοῦ ζῶσιν οἱ διὰ τοῦ βαπτίσματος γεννηθέντες. Τί δὲ ἡ τοῦ Χριστοῦ ζωή; Λέγω δὴ, τί ἐστιν ἐκεῖνο τὸ πάθος, ὃ τοῦ βαπτίσματος ἀπολελαυκότες οἱ λελουμένοι τοῦ βίου τῷ Χριστῷ κοινωνοῦσι, δῆλον οὔπω γέγονεν ἔτι· τούτου δὲ τὸ μὲν πλεῖστον ὑπὲρ τὸν ἀνθρώπινον λόγον. Δύναμις γάρ ἐστι τοῦ μέλλοντος αἰῶ-

---

101. *οὐδέν γένοιτ' ἄν.* C anteponit *γένοιτ' ἄν.*
102. *ἀμεταμέλητα.* Rom. 11. 29.
103. *τὸ σῶν ἔχειν.* C. *σῶον.*

νος, ἧ φησι Παῦλος, καὶ πρὸς βίον ἄλλου παρασκευή· καθάπερ τοίνυν οὐκ ἔστι καταμαθεῖν ὀφθαλμῶν ἀρετὴν ἢ χρώματος χάριν μὴ τῷ φωτὶ προσάγοντας καὶ τὰ τῶν ἐγρηγορότων εἰδέναι τοὺς καθεύδοντας ἕως καθεύδουσι, τὸν ἴσον τρόπον οὐδὲ τὰ καινὰ μέλη καὶ τὰς δυνάμεις, οἷς καθαρῶς πρὸς τὸν μέλλοντα βίον ἔξεστι χρῆσθαι, δυνατὸν συνιδεῖν ἐπὶ τοῦ παρόντος, τίνα τέ ἐστιν ἀκριβῶς καὶ οἷαν αὐτοῖς σύνεστι κάλλος. Δεῖ γὰρ συγγενοῦς κάλλους καὶ φωτὸς καταλλήλου. Καὶ μὴν μέλη Χριστοῦ ἐσμὲν, καὶ τοῦτό ἐστι τὸ τοῦ βαπτίσματος ἔργον. Συνέστηκε δὲ ἡ λαμπρότης τῶν μελῶν καὶ τὸ κάλλος ἐν τῇ κεφαλῇ· φαίνοιτο γὰρ ἂν οὐ καλὰ τὰ μέλη μὴ τῇ κεφαλῇ συνημμένα. Τούτων δὲ τῶν μελῶν ἡ κεφαλὴ κρύπτεται μὲν ἐπὶ τοῦ παρόντος, φανεῖται δὲ κατὰ τὸν μέλλοντα βίον· τότε δὴ καὶ τὰ μέλη λάμψει καὶ διαδειχθήσεται, ἐπειδὰν μετὰ τῆς κεφαλῆς ἀναλάμψῃ· καὶ τοῦτο Παῦλος δεικνὺς „ἀπεθάνετέ φησι καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν θεῷ· ὅταν δὲ ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς ἐν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.“ Καὶ ὁ μακάριος Ἰωάννης, „οὔπω ἐφανερώθη τί ἐσμέν· ὅταν δὲ φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.“ Διὰ ταῦτα νῦν τελείως μὲν τὴν δύναμιν τῆς ζωῆς ταύτης οὐκ ἔνεστι γνῶναι οὐδὲ αὐτοὺς δήπου τοὺς μακαρίους, ἀλλὰ τὸ πλεῖστον ὁμολογοῦσιν ἀγνοεῖν καὶ ἐν αἰνίγμασι καὶ ἐν ἐσόπτρῳ καὶ ἐκ μέρους γινώσκειν, καὶ ἃ δὲ δύνανται γινώσκειν, οὐδὲ ταῦτα ἕνι λόγῳ φανῆναι. Ἀλλ' ἔστι μὲν αἴσθησις αὐτῶν καὶ γνῶσις τοῖς γε καθαροῖς τὴν καρδίαν,

106. *ἀρετὴν ἢ χρώματος.* C. *καὶ χρ.*

107. *συγγενοῦς κάλλους.* Sic legitur in A. B. unus C. h. *κόσμου*, quapropter Vs. *cognato enim mundo et lumine conveniente opus est.*

108. *κεφαλῆς ἀναλάμψῃ.* C. *ἀνατείλῃ.* — *ἀπεθάνετε.* Col. 3, 3. 4. *ἡ ζωὴ ὑμῶν.* C. cum textu rec. *ἡμῶν.*

109. *οὔπω ἐφαν.* 1 Joh. 3, 2, ubi vero pro *ἐσμέν* habetur *ἐσόμεθα* et pro *ὅταν δέ* legitur *οἴδαμεν (δὲ) ὅτι ἐάν.*

ῥῆμα δὲ ἢ λόγον, ὃς ἐφαρμόσει τοῖς ἐγνωσμένοις καὶ τοῦ μακαρίου πάθους γένοιτ' ἂν σημεῖον τοῖς ἀγνοοῦσιν, ἀμήχανον εὑρεῖν. Καὶ γὰρ ἔστιν ὧν ἤκουσεν ὁ ἀπόστολος εἰς τὸν παράδεισον καὶ τρίτον οὐρανὸν ἁρπαγείς, ἄ-
111 ῥητα ῥήματά φησιν, ἃ οὐκ ἔξον ἀνθρώπῳ λαλῆσαι. Ἃ δὲ καὶ γινώσκεται καὶ ῥηθῆναι δύναται τῆς ζωῆς καὶ τῶν ἀφανῶν ἀπόδειξιν ἔχει, τὰ τοῖς μεμυημένοις κατωρθωμένα, τὸ καινὸν ἦθος τῶν λουσαμένων οἳ τὴν τάξιν ἔσωσαν, ἡ ὑπερφυὴς ἀρετὴ καὶ τοὺς ἀνθρωπίνους νικῶσα νόμους, ἧς οὔτε σοφίαν οὔτε γυμνασίαν, οὐ τὸ πεφυκέναι οὔτε
112 ἄλλο ὁτιοῦν ἔστιν αἰτιᾶσθαι τῶν ἀνθρωπίνων. Ἥ τε γὰρ ψυχὴ πρὸς τοιαῦτα προὐθυμήθη, οἷα μηδ' ἀναπλάσαι ῥᾴδιον ἦν ἀνθρώποις, τό τε σῶμα τὴν προθυμίαν οὐκ ἔσβεσεν, ἀλλὰ πόνων ἠνέσχετο τοσούτων, ὅσων ἐπεθύμησεν ἡ ψυχή· καίτοι καὶ ψυχῆς καὶ σώματος δύναμις ὥρισται, καὶ πρὸς πάντα πόνον οὔτε ταύτην οὔτε ἐκείνην ἑστάναι δυνατὸν, ἀλλ' ἔστιν οὓς δυνηθεῖσα νικῆσαι ἐπὶ
113 τῶν ἄλλων ἡ μὲν ἀπεῖπε τὸ δὲ ἐλύθη. Τῶν δὲ μακαρίων ἐκείνων (ψυχῶν καὶ σωμάτων) οὐδὲν ἐκράτησεν, ἀλλ' ὅσαπερ ἂν ἀληθόνων εἴδη καὶ πόσων οὐδ' αὐτονομία πλάσαι λογισμῶν, τοσούτων ἠνέσχοντο καὶ πρὸς τοσαῦτα ἐκαρτέρησαν. Καὶ οὔπω λέγω τὸ καινότατον· οἵ γε οὐδὲ
114 ἠνέσχοντο οὐδὲ ἐκαρτέρησαν. Οὐ γὰρ ἐλπίδι μειζόνων ἄθλων καὶ ζωῆς ἀμείνονος τὴν παροῦσαν περιεῖδον, λέγω κρίσει τινὶ καὶ λογισμῷ πρὸς ταύτην ἀφιγμένοι τὴν τόλμαν καὶ ἐνέγκοντες μὲν ἀηδῶς δὲ, καθάπερ οἱ νοσοῦντες ἰατροῦ πῦρ καὶ μάχαιραν· ἀλλὰ τοῦτό ἐστι τὸ καινότατον, ὅτι τὰς πληγὰς αὐτὰς ἐφίλουν, αὐτῶν ὠρέγοντο τῶν πόνων, αὐτὸν ποθεινὸν ἡγοῦντο τὸν θάνατον, καὶ εἰ μη-
115 δὲν ἄλλο προὔκειτο. Οἱ μὲν γὰρ ξίφους ἐπεθύμησαν καὶ

---

110. *μακαρίου πάθους.* **Vide Suiceri Thes. s. v. *πάθος*. Macarii Opusc. p. I, p. 80. 85. ed. Pritius.**

113. *ψυχῶν καὶ σωμάτων.* **Desunt haec in B., A. tantum om. *καὶ σωμάτων*.**

στρεβλώσεων καὶ θανάτου, καὶ γενομένοις ἐπὶ τῆς πείρας μείζων ἦν ἡ προθυμία, οἱ δὲ διὰ βίου κακοπαθεῖν καὶ πονεῖν καὶ πόρρω πάσης ἀνέσεως ζῆν καὶ τοῦτο τροφὴν νομίζειν τὸ καθ' ἡμέραν ἀποθνήσκειν· καὶ ἠκολούθησε τὸ σῶμα καὶ ἐβοήθησε κατὰ τῶν σωματικῶν ἀγωνιζομένοις νόμων. Καὶ ταῦτα οὐ δύο καὶ τρεῖς καὶ εἴκοσιν, οὐδὲ 116
ἄνδρες μόνον οὐδ' οἱ ἐν ἡλικίᾳ μόνον, ἀλλὰ μυρίοι μὲν καὶ πλῆθος ἀρίθμου κρεῖττον, ἡλικία δὲ πᾶσα ὁμοίως.

Τοῦτο δὲ μάλιστα δῆλον ἐγένετο ἐπὶ τῶν μαρτύρων. 117
Τούτων γὰρ καὶ οἱ πρὸ τῶν διωγμῶν πιστοὶ καὶ οἷς ἐπ' αὐτῶν τῶν διωγμῶν τὴν ἀληθινὴν ζωὴν ὁ Χριστὸς ἐνέδηκεν, ἅμα τε ἐπεδείκνυντο τοῖς διώκταις τὴν εἰς τὸν Χριστὸν πίστιν καὶ ἀνεῖπον τοὔνομα καὶ ἐπεθύμουν ἀποθνήσκειν καὶ μιᾷ βοῇ τοὺς δημίους ἐξεκαλοῦντο καθάπερ ἐπί τι φαινόμενον ἀγαθὸν, ὁμοίως φερόμενοι καὶ γυναῖκες καὶ κόραι καὶ ἄνδρες καὶ παῖδες καὶ πᾶν ἐπιτήδευμα καὶ πᾶς βίος. Δεῖ γὰρ καὶ τοῦτο προσθεῖναι, ὅτι μικρὰν 118
οὐδὲ τοῦτο διαφορὰν εἰσάγει τῷ γένει. Καὶ γὰρ οὐχ ὁμοίως ἂν πρὸς ἀγῶνας ἔχοι καὶ πόνους ὅ τε ζῶν ἐν ἱδρῶσι καὶ ᾧ βίος ἐστὶν ἀνειμένος, καὶ ξίφος καὶ θάνατον οὐ τοῖς αὐτοῖς ἂν ὀφθαλμοῖς ἴδοι στρατιώτης καὶ αὐλητής. Τούτων οὐδὲν ἐκώλυσε τὴν θαυμαστὴν ἐκείνην 119
φορὰν, οὐδὲ προσέστη τῷ μὴ πάντας ὁμοίως εἰς αὐτὴν ἀφικέσθαι τῆς φιλοσοφίας τὴν κορυφὴν, ἀλλ' ὅτι μία ἦν ἡ πάντας τίκτουσα καὶ πλάττουσα δύναμις, πάντες τὸν ἔσχατον τῆς ἀρετῆς κατειλήφασιν ὅρον, καὶ τὸ ἀγαθὸν ἐτίμησαν καὶ ἐφίλησαν ὑπὲρ τὸ εἰκὸς τῆς φύσεως· οἵ γε ὑπὲρ αὐτοῦ καὶ ψυχῶν αὐτῶν ὑπερεῖδον. Καὶ γὰρ καὶ 120
γυναῖκες τῶν ἐπὶ σκηνῆς καὶ ἄνδρες διεφθαρμένοι καὶ τοιοῦτον πλῆθος τόν τε λόγον ἐδέχοντο τῆς κοινῆς ἡμῶν σωτηρίας καὶ μετεσκευάζοντο καὶ μετεπλάττοντο τὴν καλὴν ἁρμονίαν ἁρμοζόμενοι, καὶ οὕτως ἀθρόον καὶ σὺτω

---

115. *καὶ πονεῖν.* C. *ποιεῖν.*
117. *τοὺς δημίους.* i. e. carnifices, tortores.

121 ῥαδίως, ὥσπερ προσωπεῖον ἀμειβόντες. Συνέβη δὲ πολλοῖς καὶ μὴ λουσαμένοις εἰς τοῦτον τελέσαι τὸν χόρον, οὓς ὕδατι μὴ βαπτισθέντας ὑπὸ τῆς ἐκκλησίας αὐτὸς ἐβάπτισεν ὁ νυμφίος τῆς ἐκκλη-
122 σίας. Πολλοῖς μὲν οὖν καὶ νεφέλην οὐρανόθεν ἔδωκε καὶ ὕδωρ ἐκ γῆς αὐτόματον καὶ οὕτως ἐβάπτισε, τοὺς πλείους
123 δὲ ἀφανῶς ἀνέπλασεν. Ὥσπερ γὰρ τὸ ὑστέρημα τοῦ Χριστοῦ τὰ μέλη τῆς ἐκκλησίας, Παῦλος καὶ εἴτις κατ' ἐκεῖνον ἀναπληροῖ, οὕτως οὐδὲν ἀπάδον, εἰ τὸ ὑστέρημα τῆς ἐκκλησίας ἡ κεφαλὴ τῆς ἐκκλησίας ἀναπληρώσει. Εἰ γάρ ἐστιν ἅττα μέλη τῇ κεφαλῇ δοκεῖ βοηθεῖν, πόσῳ δικαιότερον, ὧν ἐλλείπει τοῖς μέλεσιν, αὐτὴν προσθεῖναι τὴν κεφαλήν; Καὶ ταῦτα μὲν τοῦτον
124 ἂν ἔχοι τὸν τρόπον. Ἀναληπτέον δ' ἂν εἴη τὸν λόγον. Ταύτην μὲν οὖν τὴν δύναμιν, ἣ τὴν τόλμιαν ἐτόλμησαν καὶ τὴν προθυμίαν προὐθυμήθησαν, καὶ εἰς τέλος ἀγαγεῖν ἃ προὐθυμήθησαν ἐδυνήθησαν, ὡς οὐκ ἔστιν εὑρεῖν ἐν τῇ φύσει τῶν ἀνθρώπων, οὐκ ἂν οὐδὲ λόγου δέοι δεικνύναι· λοιποῦ δὲ ὄντος ἐξ ἀνάγκης, αἰτίαν τούτων τιθέναι τὴν τοῦ βαπτίσματος χάριν, ζητῶμεν ἔτι τὸν τρόπον, ὅπως ταῦτα αὐτοὺς εἰργάσατο τὸ λουτρόν.

125 Φανερὸν μὲν οὖν, ὡς ἄρα ἐρώντων ἦσαν οἱ πόνοι, καὶ οἱ ἀγῶνες ἐκεῖνοι καὶ τὰ Χριστοῦ βέλη καὶ φίλτρα πρὸς ταύτην αὐτοῦς ἐξήγαγε τὴν καινοτομίαν· τί δὲ τῶν ἐρώντων τὸ αἴτιον καὶ τί παθόντες οὕτως ἐφίλησαν καὶ
126 πόθεν τὸ πῦρ ἐδέξαντο, τοῦτο σκοπῶμεν ἤδη. Καὶ γάρ ἐστι μὲν τὸ εἰδέναι τοῦ φιλεῖν αἴτιον, καὶ τοῦτο ἐκεῖνο τίκτει, καὶ οὐκ ἔστι λαβεῖν ἔρωτα τῶν καλῶν οὐδενὸς μὴ καταμαθόντα ὡς ἔχει κάλλους· ἐπεὶ δὲ τὸ εἰδέναι τοῦτο

---

121. Conf. Greg. Nat. or. XXXIX, p. 634. Constitt. apost. V, cp. 6. Suicer Thes. tom. I, p. 628.
122. *νεφέλην οὐρανόθεν.* B. om. *οὐραν.*
124. *τὴν προθυμίαν.* C. add. *ταύτην.* — *οὐδὲ λόγου.* A. *λόγον.*
125. *ταύτην αὐτούς.* C. *αὐτοῦ.*
125. *τῶν ἐρώντων.* C. ex emendatione *ἐρώτων.*

συμβαίνει μὲν μάλιστα καὶ τελείως, συμβαίνει δὲ ἀτέλως ἔχειν, εἰκὸς ἂν εἴη καὶ τὸ φίλτρον ὁμοίως ἔχειν· καὶ τῶν καλῶν καὶ ἀγαθῶν ἃ μὲν γινώσκεται τελείως καὶ φιλεῖται τελείως καὶ ὥσπερ τοσῷδε κάλλει προσῆκε, τῶν δὲ μὴ σφόδρα φανερῶν τοῖς ἐρῶσι καὶ ὁ ἔρως ἀσθενῶς ἔχει. Οὐκοῦν ἐκεῖνο γίνεται δῆλον, ὡς ἐπίγνωσίν τινα θεοῦ 127
καὶ αἴσθησιν αὐτοῖς ἐνέθηκε τὸ λουτρὸν, καὶ τὸν καλὸν σαφῶς ἔγνωσαν καὶ τῆς ὥρας ἥσθοντο καὶ ἐγεύσαντο τοῦ κάλλους ἐκείνου. Λέγω δὴ πείρᾳ τινὶ τελεώτερον ἢ διδασκαλίᾳ δύνανται γνωρίσαι καταμαθόντες. Δίττης γὰρ ἡμῖν τῆς τῶν πραγμάτων γνώσεως οὔ- 128
σης, τῆς μὲν ἣν ἄν τις ἀκοῇ τύχοι λαβὼν, τῆς δὲ ἣν δι' ἑαυτοῦ καθαμάθοι, ἐκείνως μὲν οὐκ αὐτοῦ τοῦ πράγματος ἀπτόμεθα, ἀλλ' ὥσπερ ἐν εἰκόνι τινὶ τοῖς λόγοις ὁρῶμεν, καὶ οὐδ' ἀκριβῶς αὐτοῦ τοῦ εἴδους εἰκόνι. Καὶ γὰρ 129
ἀμήχανον αὐτῷ παντάπασιν ὅμοιον εὑρεῖν ἐν τοῖς οὖσιν, ᾧ παραδείγματι χρησαμένους εἰς τὴν ἐκείνου γνῶσιν ἀρκέσει· τὸ δὲ πείραν λαβεῖν αὐτοῖς ἐστι τοῖς πράγμασιν ἐντυχεῖν, ὅθεν ἐνταῦθα μὲν αὐτὸ τὸ εἶδος τῇ ψυχῇ προσβάλλει καὶ τὴν ἐπιθυμίαν ἀνίστησι καθάπερ ἴχνος τῷ κάλλει σύμμετρον. Ἐκεῖ 130
δὲ τῆς μὲν ἰδέας αὐτῆς τῆς ἰδίας τοῦ πράγματος ἀπολει-

---

128. *Δίττης γάρ.* Sequentia usque ad §. 133: *τὸν τρώσαντα δείκνυσιν*, a Jahnio recepta reperies l. c. p. 736—38.

129. *ᾧ παραδείγματι.* Sic codd. omnes. Negligenter dictum est pro: *ὃ ὡς παραδείγματι χρησαμένοις αὐτῷ.* Nec tamen cum Jahnio mutandum *ὃ παραδ. κτλ.* — *τὴν ἐπιθυμίαν.* Eandem vocis *ἐπιθυμία* notionem Jahnius (not. 34) apud Gregorium Nyss. animadvertit, v. c. de anima et res. p. 82. ed. Krab. Adde locos in Steph. Thes. laudatos (*Οὐδέποτε περὶ τῶν ἐγνωσμένων ἡ τοῦ ἀνιῶντος ἐπιθυμία ἵσταται*).

130. *αὐτῆς τῆς ἰδίας.* C. om. *τῆς.* Nullo jure *ἰδίας*, quod omnes codd. exhibent, expungi voluit Jahn; significat enim id quod proprium est singulae cujusdam ideae, quoque sublato nulla satis clare expressa rei species relinquitur. — *αὐτοῦ γεγενημένοι.* Haec tantum in C. leguntur.

φθέντες, ἐξ ὧν δὲ κοινωνεῖ τοῖς ἄλλοις, ἀσαφῆ τινα καὶ ἀμυδρὰν εἰκόνα λαβόντες αὐτοῦ, ταύτῃ μετροῦμεν τὸν περὶ τὸ πρᾶγμα πόθον· ὅθεν οὐ φιλοῦμεν ὅσον ἐκεῖνο φιλητόν, οὐδὲ πάσχομεν ὅσον ἐκεῖνο δύναται δρᾶν (αὐτοῦ
131 τοῦ εἴδους μὴ γεγευμένοι). Καθάπερ γὰρ διάφορον εἶδος τῆς οὐσίας ἑκάστου καὶ διάφορον ἐντίθησι τῇ ψυχῇ λόγον, οὕτω καὶ φίλτρον· οὐκοῦν ἡ τοῦ σωτῆρος ἐν ἡμῖν ἀγάπη. ὅταν μὲν οὐδὲν ἐπιδείξηται καινὸν οὐδ' ὑπερφυές, δῆλοι καθέσταμεν ὡς ἄρα μόναις ἐνετύχομεν ταῖς περὶ αὐτοῦ φωναῖς, ἐξ ὧν πῶς μὲν ἂν γένοιτο γνῶναι καλῶς, ᾧ μηδὲν ὅμοιον ἔστιν εὑρεῖν, οὐδ' ὃ κοινὸν αὐτῷ καὶ τοῖς ἄλλοις οὐδὲ πρὸς ὃ παράδειγμα ἀναφέρεται, οὐδ' οἷς ἐκεῖνος παράδειγμα, πῶς δὲ καταμαθεῖν μὲν τὸ κάλλος, φι-
132 λῆσαι δὲ τοῦ κάλλους ἀξίως; Οἷς δὲ τοιοῦτος ἐγένετο πόθος, ὥστε τῆς φύσεως μὲν ἐκστῆναι, μείζω δὲ καὶ προθυμηθῆναι καὶ δυνηθῆναι ἢ προσῆκεν ἀνθρώποις ἐνθυμηθῆναι, — τούτους αὐτὸς ἔτρωσεν ὁ νυμφίος· αὐτὸς ἐνῆκεν
133 ἀκτῖνά τινα τοῦ κάλλους τοῖς ὀφθαλμοῖς. Τὸ γὰρ μέγεθος τοῦ τραύματος μηνύει τὸ βέλος, καὶ ὁ πόθος τὸν τρώσαντα δείκνυσιν· καὶ τούτῳ διήνεγκε τῆς παλαιᾶς ἡ καινὴ διαθήκη καὶ τούτῳ ἄμεινον εἶχεν, ὅτι τότε μὲν λόγος ἦν ὁ παιδεύων, νῦν δὲ αὐτὸς παρὼν ὁ Χριστὸς ἀῤῥητόν τινα τρόπον διατίθησι καὶ πλάττει τὰς τῶν ἀνθρώπων ψυχάς. Λόγῳ γὰρ καὶ διδασκαλίᾳ καὶ νόμοις οὐκ ἐνῆν ἀφικέσθαι τοὺς ἀνθρώπους εἰς τὸ ζητούμενον τέλος. Εἰ γὰρ ἐνῆν λόγοις, οὐκ ἂν ἐδέησεν ἔργων
134 καὶ τούτων ὑπερφυῶν, θεοῦ σαρκουμένου καὶ σταυρουμένου

---

131. *οὐδὲ πρὸς ὃ παράδειγμα.* Tueor codicum lectionem contra Jahnii conjecturam: *πρὸς ὅν.* Nam *οὐδ' ὅ* et *οὐδὲ πρὸς ὅ* utrumque ad *μηδὲν ὅμοιον* referendum est. Vs. recte: *Cui nihil simile reperitur, neque quod illi et aliis commune sit, neque exemplum ad quod comparetur* (scil. Christus), *neque quibus ille exemplo sit.*

133 *μεγ. τοῦ τραύματος.* Conf. Cant. 2, 5. 5, 8. — *Λόγῳ γάρ.* Conf. Greg. Nyss. or. cat. magna, cp XV.

καὶ ἀποθνήσκοντος. Τοῦτο δὲ δῆλον ἐγένετο ἐξ ἀρχῆς
ἐξ αὐτῶν τῶν πατρῶν ἡμῖν τῆς εὐσεβείας καὶ τῶν ἀπο-
στόλων. Πάσης γὰρ ἀπολελαυκότες διδασκαλίας καὶ ταῦτα 135
αὐτοῦ τοῦ σωτῆρος καὶ θεαταὶ γενόμενοι πάντων, καὶ ὧν
κατέθετο τῇ φύσει χαρίτων καὶ ὧν ἠνέσχετο ὑπὲρ τῶν
ἀνθρώπων, καὶ ὡς ἀποθανὼν ἀνεβίου καὶ ὡς κατειλήφει
τὸν οὐρανόν· καὶ ταῦτα πάντα καταμαθόντες ὅμως οὐδὲν
καινὸν οὐδὲ γενναῖον οὐδὲ πνευματικὸν οὐδὲ τοῦ παλαιοῦ
βέλτιον ἐπεδείξαντο, ἕως ἐβαπτίσαντο. Γενομένου δὲ αὖ- 136
τοῖς τοῦ βαπτίσματος καὶ τοῦ παρακλήτου ταῖς ψυχαῖς
αὐτῶν ἐμπεσόντος αὐτοί τε ἐγένοντο καινοὶ καὶ ζωῆς ἐπε-
λάβοντο καινῆς καὶ τοῖς ἄλλοις ἡγήσαντο, καὶ τὸν περὶ
Χριστὸν πόθον καὶ ἑαυτοῖς καὶ τοῖς ἄλλοις ἀνῆψαν. Εἰ 137
γὰρ καὶ τῷ ἡλίῳ παρῆσαν καὶ διαίτης ἐκοινώνουν καὶ
λόγων, ἀλλ' ἦν αἴσθησις αὐτοῖς τῆς ἀκτῖνος οὔπω, μὴ
δεξαμένοις τὸ πνευματικὸν ἐκεῖνο λουτρὸν, — τὸν ἴσον
δὴ τρόπον καὶ τοὺς ἁγίους ἑξῆς ἅπαντας ἐτελείωσεν ὁ
θεός· καὶ ἐπέγνωσαν αὐτὸν καὶ ἐφίλησαν, οὐ λόγοις πα-
ρακληθέντες ψιλοῖς, ἀλλὰ τῇ τοῦ λουτροῦ δυνάμει δια-
τεθέντες, αὐτοῦ πλάττοντος καὶ διατιθέντος τοῦ φιλουμέ-
νου, ὃς κτίζει καρδίαν σαρκίαν τὴν ἀναισθησίαν ἐκβάλ-
λων, καὶ γράφει μὲν, ἀλλ' ἣ φησι Παῦλος „οὐκ ἐν πλαξὶ
λιθίναις ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις," καὶ οὐ νόμον
ἁπλῶς ἀλλὰ τὸν νομοθέτην αὐτὸν αὐτὸς ἑαυτόν. Τοῦτο 138
δὲ πολλοῖς τῶν ἁγίων καὶ φανερώτατα διεδείχθη, οὓς
μήτε λόγοις ταληθὲς μαθεῖν δυνηθέντας, μήτε θαύμασι
τὴν τοῦ κηρυττομένου δύναμιν ἐπιγνόντας Χριστιανοὺς
ἀκριβεῖς ἀθρόον ἀπέδειξε δεξάμενον τὸ λουτρόν.

Πορφύριος γοῦν ὁ μακάριος ἐπὶ τῶν καιρῶν γενό- 139

---

137. *ἀλλ' ἦν αἴσθησις.* Vide inprimis Gregor. Naz. or. XXXIV, p. 559. — *κτίζει — σαρκίαν.* Ezech. 11, 19. Ps. 50, 12. — *οὐκ ἐν πλαξί.* 2. Cor. 3, 3.

138. *ἁγίων καί.* B. om. *καί.* — *κηρυττομένου.* C. minus bene *κρυπτομένου.*

139. *Πορφύριος γοῦν.* Secundum Menologium Graecorum Por-

μενος ἐκείνων, ἐν οἷς ὁ τοῦ Χριστοῦ νόμιος πάσης ἐκράτει τῆς οἰκουμένης καὶ τῆς μὲν φωνῆς τῶν κηρύκων ἤκουσαν ἄνθρωποι πάντες, τρόπαια δὲ μαρτυρικοῖς ἀγῶσιν ἐπήγνυτο πανταχοῦ φωνῆς λαμπρότερον τῷ Χριστῷ τὴν ἀληθῆ θεότητα μαρτυρούντα, — καὶ μυρίων μὲν ἀκούσας λόγων, τοσούτων δὲ ἀριστέων καὶ θαυμάτων γενόμενος θεατὴς ὅμως ἔμενε πλανώμενος καὶ τὸ ψεῦδος τῆς ἀλη-
140 θείας ἔμπροσθεν ἄγων. Ἐπεὶ δὲ ἐβαπτίσθη καὶ τοῦτο παίζων οὐ Χριστιανὸς ἦν εὐθὺς μόνον, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν τῶν μαρτύρων ἐτέλεσε χορόν. Καὶ γὰρ μῖμος ὢν καὶ τοῦτ' αὐτὸ ποιούμενος ἔργον ἐτόλμησε καὶ ταύτην τὴν τόλμιαν, ὡς δὴ γέλωτα κινήσων, καὶ προσέπαιξε τὸ λουτρὸν καὶ ἐβάπτισεν ἑαυτὸν εἰς ὕδωρ καθεὶς ἐπὶ τοῦ θεά-
141 τρου τὴν τριάδα ἀναβοήσας. Καὶ οἱ μὲν ἐγέλων, οἷς ἐπεδείκνυτο τὸ δρᾶμια, τῷ δὲ οὐκέτι γέλως ἦν οὐδὲ σκηνὴ τὰ παρόντα, ἀλλ' ὡς ἀληθῶς γέννησις καὶ ἀνάπλασις καὶ τοῦτ' αὐτό, ὅπερ ἐστὶ τὸ μυστήριον. Ἐξῆλθε γὰρ ἀντὶ μίμου ψυχὴν ἔχων μαρτυρικὴν, σῶμα γενναῖον ὥσπερ εἰς φιλοσοφίαν ἠσκημένον καὶ πόνους, γλῶσσαν ἐφελκομένην ἀντὶ γέλωτος τυράννου θυμόν· καὶ οὕτως

---

phyrius ille Aureliani tempore mortuus est. Dicitur mimus et saltator (ἦν θυμέλης καὶ ἐν ὀρχηστικῇ εὐδοκιμῶν). Quum forte pagani in ludis scenicis ritus Christianos contumeliose imitarentur, accidit ut Porphyrius catechumeni quasi persona suscepta sollemni modo baptizaretur. Haec res fictitia per miraculum in veram exiit. Nam τούτου γενομένου ἦλθον οἱ ἄγγελοι καὶ ἐνέδυσαν στολὴν λευκὴν τὸν Πορφύριον μετὰ λαμπάδων ψάλλοντες, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Menol. p. I, p. 165. (Urbini 1727). Conf. Siberi Martyrologium ecclesiae Graecae (Lips. 1727) p. 298., ubi ille his versibus celebratur:

Βάπτισμα παίξαι προτραπεὶς παίζεις πλάνην,
Ῥύπτῃ δὲ, Πορφύριε, καὶ τέμνῃ ξίφει.

140. καὶ προσέπαιξε. C. προσέπειξε.

141. ἐφελκομένην. Vs. *qui pro risu tyranni iram provocaret.* — ψυχὴν — μαρτυρικήν. Conf. Eust. Opusc. p. 173—75, ubi illud μαρτυρικός multis cum nominibus (δύναμις, σάρξ, σῶμα, τραῦμα) varie compositum est.

ωύδασεν ὁ διὰ βίου παίζων ἐκεῖνος, καὶ οὕτω περὶ
Χριστὸν προὐθυμήθη, ὥστε πολλῶν ἀνασχόμενος βα-
νων ἡδέως ἀπέθνησκεν, ἵνα μηδὲ τῇ γλώττῃ προδῷ τὸ
ρον. — Οὕτω καὶ Γελάσιος τὸν Χριστὸν ἐφίλησε καὶ 142
που ἔγνω τὸν τρόπον. Καὶ ὡς ἔοικε προσῆλθε μὲν ἑκά-
ος ἐχθρῶς ἔχων καὶ πολεμίως· ἐπεὶ δὲ τὸν ὀφθαλμὸν
ῷ τῆς ψυχῆς ἀνέῳξεν ὁ πολεμούμενος καὶ τὴν οἰκείαν
ξεν ὥραν, ἐξέστη τε εὐθὺς ἐπὶ τῷ κάλλει καὶ τὴν
ντιωτάτην ἐπεδείξατο γνώμην καὶ ἦν ἐραστὴς ἀντὶ πο-
ύου. Καὶ γὰρ ἔκστασις ἦν ὁ ἔρως ἐκεῖνος, ὅτι τοὺς 143
όντας ἐκτὸς τῶν ἀνθρωπίνων ἤγαγεν ὁρῶν·
ι τοῦτο δεικνὺς ὁ προφήτης „ἐκστήσονταί φησι πολλοὶ
σοι,“ — ἐν οἷς περὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου
ς τὸν Χριστὸν διαλεγόμενος ἔφη, — „ὃν τρόπον ἐκ-
θσονται πολλοὶ ἐπί σοι, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων
κάλλος σου ἀπὸ υἱῶν ἀνθρώπων.“ — Ἀρδαλίων δὲ 144
γενναῖος ἐβαπτίσθη μὲν καὶ αὐτὸς ἀντὶ παιδιᾶς ἄλλης
τῳ χαριζόμενος τοῖς θεωμένοις· καὶ γὰρ ἦν γέλωτος
ιστὴς καὶ τοιούτων τινῶν ἡδονῶν τοῖς συνοῦσι δημιουρ-

---

12. *Οὕτω καὶ Γελάσιος.* De hoc Gelasio Diocletiani aetate mortuo, quem Vs. Genesium nominat, vide Ruinart, Acta primorum martyrum, p. 283. et Siberi Martyrologium p. 450.

13. *ἐκστήσονται.* Jes. 52, 14, ubi LXX pro *τὸ κάλλος* h. *ἡ δόξα.*

14. *τούτῳ χαριζόμενος.* B. *τοῦτο.* — *Ἀρδαλίων δὲ ὁ γενναῖος.* Ardalio mimus sub Maximiano imperatore passus fertur. Menologium narrat, eum primum se ementitum, tum autem re vera factum esse martyrem. *Ἑαυτὸν ἐποίησε μάρτυρα ἀγωνιζόμενον ὑπὲρ τοῦ Χριστοῦ, κρεμασθεὶς δὲ παρὰ τοῦ δῆθεν τυράννου ἐξέετο. Ὡς οὖν ἐπ' αὐτὸν κρότος παρὰ τῶν θεατῶν ἦν ἐπαινούντων αὐτοῦ τὴν καρτερίαν, ἀνέκραξε μέγα καὶ σιγὴν γενέσθαι παρασκευάσας εἶπε πρὸς τὸν δῆμον· ὅτε μὴ νομίζετέ με παίγνιον ποιοῦντα, ἀλλ' ἐν ἀληθείᾳ Χριστιανὸν ὑπολαμβάνετε. Ἐγὼ γὰρ Χριστιανός εἰμι. κτλ.* p. III, p. 58. In Siberi Martyrol. p. 137 hi versus leguntur:

Νῦν μῖμος ὄντως Ἀρδαλίων ἦ πάλαι·
Μιμούμενον γὰρ μάρτυρας τὸ πᾶν φλέγει.

γός. Ἐβαπτίσθη δὲ οὐ συμβόλοις οὐδὲ εἰκόσι τὸ πάθος μιμησάμενος τοῦ σωτῆρος, ἀλλ' αὐτοῖς τοῖς πράγμασι.
145 Καὶ γὰρ τὴν καλὴν ὁμολογίαν καὶ τὴν τῶν μαρτύρων ὑπεκρίνατο καὶ ἀνηρτήθη μὲν ἐπὶ τοῦ ξύλου γυμνὸς παίζων ὑπὸ παιζόντων· ἐπεὶ δὲ ἀνεῖπε τὸν Χριστὸν καὶ ἤσθετο τῶν πληγῶν, ἀθρόον μετέβαλε, καὶ ἡ ψυχὴ τῇ φωνῇ συν-
146 έβη καὶ ἡ γνώμη τοῖς πλάσμασιν ἠκολούθει. Καὶ ἦν ἀληθῶς ὃ παίζων ἑαυτὸν ἐκάλει, Χριστιανὸς, καὶ γίνεται πληγῶν παιζόντων καὶ φωνῆς πεπλασμένης ἔργον τοσοῦτον, καὶ τὸν Χριστὸν, ὅτι φιλεῖν εἶπεν, εὐθὺς ἐφίλει τοῦ ἔρωτος πυρὸς δίκην ἀπὸ τοῦ στόματος ἐπ' αὐτὴν εἰσπνεύσαντος τὴν καρδίαν. Καὶ τοῖς μὲν ἄλλοις τὸ ἀγαθὸν ἀπὸ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐπὶ τὸ στόμα χωρεῖ· Ἀρδαλίονι δὲ ὁ θησαυρὸς ἄνω ποταμῶν ἐπὶ τὴν παρδίαν
147 ἀπὸ τοῦ στόματος ἦλθεν. Ὦ τῆς ἀῤῥήτου σοῦ Χριστοῦ δυνάμεως! Οὐ γὰρ εὐεργετήσας οὐδὲ μεταδοὺς στεφάνων, οὐδὲ τοῦτο γοῦν χρηστῶν αὐτὸν ἐξαρτήσας ἐλπίδων, ἀλλὰ πληγῶν καὶ τῆς ἀτιμίας λαβὼν κοινωνὸν οὕτως εἶλε καὶ ἀνηρτήσατο, ὥστε ἔπεισε μὲν, ἃ πρότερον οὐδὲ ἀκούων
148 ἀνεκτὼς εἶχεν. Ἐξέστησε δὲ συνηθείας ἀθρόον, ἣν μακρὸς αὐτῷ συνέστηξε χρόνος, μετέστησε δὲ πρὸς τὴν ἐναντιωτάτην ἕξιν τὴν γνώμην, ἀπὸ τοῦ πάντων κακίστου καὶ πονηροτάτου πρὸς τὸ βέλτιστον ἁπάντων μεταγαγών· οὔτε γὰρ μίμου φαυλότερον γένοιτ' ἂν οὐδὲν οὔτε φιλοσο-
149 φώτερον μάρτυρος. Τούτοις τί κοινὸν; καὶ τῷ φυσικῷ λόγῳ τίνα ἀκολουθίαν ἔχει, πληγὰς καὶ ἀτιμίαν ἔρωτα τίκτειν, καὶ ὑπὲρ ὧν φεύγειν τὸν Χριστιανισμὸν τὸν πιστὸν ἀκόλουθον ἦν, διὰ τούτων ἐλεῖν καὶ χειρώσασθαι τὸν ἐχθρὸν καὶ οἷς ἐχθρὸς ἦν; Τίς γὰρ ἂν ὀδυνώμενος

---

145. *τοῖς πλάσμασιν.* **B.** *πράγμασιν.*

146. *ἔργον τοσοῦτον.* **C. inverso ordine.** — *θησαυρὸς ἄνω ποταμῶν.* **Vs.** *theraurus coelestis fluminis.* **Scriptor ad Christi verba Joh. 7, 38 respicere videtur:** *ποταμοὶ ἐκ τῆς κοιλίας ῥεύσουσιν ὕδατος ζῶντος.*

148. *συνηθείας.* **C.** *συνήθειαν.*

χαίροι τούτοις πεῖσαι φιλεῖν τὸν μεμελετηκότα μισεῖν, καὶ φίλον καὶ σπουδαστὴν ἀντὶ πολεμιωτάτου καὶ διώκτου παρασκευάσαι γενέσθαι.

Εἶεν. Πρὸς ταῦτα τοίνυν ὁ μὲν λόγος τῆς διδασκα- 150
λίας οὐδὲν φαίνεται δυνηθείς, τὸ δὲ πᾶν ἡ τοῦ βαπτίσματος εἰργάσατο δύναμις. Καὶ γὰρ καὶ τῶν λόγων ἤκουσεν Ἀρδαλίων τῆς κοινῆς ἡμῶν σωτηρίας, καὶ θαυμάτων οὐκ ἦν ἀθέατος πολλῶν ἐπ' αὐτοῦ παῤῥησιασαμένων μαρτύρων· ἀλλ' ἦν οὐδὲν ἧττον ἔτι τυφλώττων καὶ τῷ φωτὶ πολεμῶν, ἕως ἐβαπτίσατο τὰ στίγματα τοῦ Χριστοῦ δεξάμενος καὶ τὴν καλὴν ὁμολογίαν ὁμολογήσας. Τοῦτο γάρ 151
ἐστιν ὁ τοῦ βαπτίσματος ὅρος, Χριστοῦ μιμήσασθαι τὴν ἐπὶ τοῦ Πιλάτου μαρτυρίαν καὶ τὴν μέχρι σταυροῦ καὶ θανάτου περὶ αὐτῆς καρτερίαν· μιμήσασθαι δὲ ἔστι μὲν διὰ τῶν εἰκόνων καὶ τῶν συμβόλων τούτων τῶν ἱερῶν, ἔστι δὲ αὐτοῖς τοῖς πράγμασι μετὰ κινδύνων τὴν θρησκείαν ἐπιδειξαμένοις καιροῦ καλοῦντος. Πολλῶν γὰρ ἐκ τοῦ 152
παντὸς αἰῶνος ἐπινοηθέντων νοσοῦντι τῷ γένει φαρμάκων μόνος ὁ τοῦ Χριστοῦ θάνατος τὴν ἀληθινὴν ζωὴν καὶ τὴν εὐεξίαν ἐδυνήθη κομίσαι· καὶ τούτου χάριν αὐτὸ τὸ τὴν καινὴν γέννησιν γεννηθῆναι καὶ τὸν μακάριον βίον βιῶναι καὶ πρὸς ὑγιείαν διατεθῆναι, οὐδέν ἐστιν ἕτερον ἢ τὸ πιεῖν τοῦ φαρμάκου τούτου, καὶ ὡς οἷόν τέ ἐστιν ἀνθρώποις ὁμολογῆσαι τὴν ὁμολογίαν καὶ τοῦ πάθους ἀνασχέσθαι καὶ ἀποθανεῖν τὸν θάνατον. Αὕτη ἐστὶν ἡ τοῦ 153
καινοῦ νόμου δύναμις, οὕτω γεννᾶται Χριστιανός· τοῦτον τὸν τρόπον εἰς τὴν θαυμαστὴν ἀφικνεῖται φιλοσοφίαν, ἔργων μὲν τῶν ἀρίστων ἐπειλημμένος, πίστιν δὲ ἀκίνητον ἔχων, οὐ πειθοῖς ἀνάγκῃ πιστεύων οὐδὲ νόμοις ἄγων τὸ ἦθος, ἀλλὰ δυνάμει θεοῦ καὶ τοῦτο κἀκεῖνο δεχόμενος καὶ δι' ἀμφοῖν εἰς τὸ μακάριον τοῦ Χριστοῦ μορφούμενος εἶδος. „Οὐ γὰρ ἐν λόγοις φησὶν ἡ βασιλεία τοῦ θεοῦ 154

---

151. *μιμήσασθαι δὲ ἔστι.* C. *ἔτι.*
152. *αὐτὸ τὸ τὴν.* B. C. om. *τό.*
154. *Οὐ γάρ.* 1 Cor. 4, 20. — *ὁ λόγος ὁ τοῦ.* 1 Cor. 1, 18.

ἀλλ' ἐν δυνάμει," καὶ „ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστι·" διὰ ταῦτα καὶ πνευματικὸς μὲν οὗτος ὁ νόμος, ὅτι τὸ πνεῦμα τὸ πᾶν ἐργάζεται, γραπτὸς δὲ ἐκεῖνος, ὅτι μέχρι τῶν γραμμάτων ἔστη καὶ τῶν φωνῶν, ἀνθ' ὧν καὶ σκιὰ μὲν καὶ εἰκὼν ἐκεῖνος,
155 πρᾶγμα δὲ καὶ ἀλήθεια τὰ παρόντα. Οἱ γὰρ λόγοι καὶ τὰ γράμματα πρὸς αὐτὸ τὸ εἶναι τῶν πραγμάτων εἰκόνος ἔχουσι λόγον· ταῦτα πρὶν εἰς ἔργον ἐκβῆναι, πολλοῖς πρότερον χρόνοις τῇ γλώττῃ τῶν προφητῶν ἐμήνυσεν ὁ θεὸς.
156 „Διαθήσομαί φησι διαθήκην καινὴν, οὐ κατὰ διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν," ἀλλὰ τίνα ταύτην; „αὕτη φησὶν ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα, τιθεὶς τοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν καὶ ἐν καρδίαις αὐτῶν γράψω αὐτοὺς," οὐ διὰ φωνῆς ῥυθμίζων ἀλλ' αὐτὸς ἀμέσως ὁ νομοθέτης. „Οὐ γὰρ διδάξουσιν ἔτι φησὶν ἕκαστος (τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος) τὸν πλησίον αὐτοῦ, γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν."
157 Τούτου τυχὼν τοῦ νόμου καὶ Δαβὶδ τὴν μακαρίαν ἐκείνην ἀφῆκε φωνὴν, ὅτι „ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος," ἐγὼ ἔγνωκα, φησὶ, πεῖραν αὐτὸς λαβὼν, οὐ διδασκόντων ἄλλων ἀκούσας, ὅθεν ἐπὶ τὰ ἴσα καὶ τοὺς ἄλλους ἐνάγων, „γεύσασθε φησὶ καὶ ἴδετε, ὅτι χρηστὸς ὁ κύριος." Καίτοι πολλοῖς τὴν χρηστότητα τοῦ θεοῦ καὶ παντοδαποῖς ὁ μακάριος ἀνύμνησε λόγοις· ὁ δὲ, ὡς οὐ δυναμένων ἐνδείξασθαι τὰ ὄντα τῶν λόγων ἐπὶ τὴν πεῖραν τῶν ὑμνουμένων, αὐτοὺς καλεῖ τοὺς ἀκροωμένους.

158 Ταύτην τὴν πεῖραν τὸ λουτρὸν ἐντίθησι ταῖς τῶν βαπτιζομένων ψυχαῖς καὶ γνωρίζει τῷ δημιουργήματι τὸν δημιουργὸν, τῷ νῷ τὴν ἀλήθειαν, τῇ ἐπιθυμίᾳ τὸν μόνον

---

156. *Διαθήσομαι.* Jerem. 38, 31. 32. LXX. — *αὕτη φησίν.* ibid. vs. 33. — *Οὐ γὰρ διδ.* vs. 34, quae omnia memoriter tantum citata sunt. — Verba: *τὸν ἀδελφὸν — ἕκαστος* om. C.
157. *ἐγὼ ἔγνωκα.* Ps. 134, 4. — *γεύσασθέ φησι.* Ps. 33, 9.
159. *ἂν μέν του δέῃ.* C. *του δὲ καί.*

ἐπιθυμητόν. Διὰ τοῦτο καὶ μέγας ὁ πόθος καὶ τὸ φίλτρον ἄῤῥητον καὶ ὁ ἔρως ὑπερφυὴς, ὅτι οὐκ ἔστιν οὗ δεῖ, καὶ πάντα συμβαίνει καὶ οὐδὲν ἀπάδει, καὶ πρός γε πᾶσά ἐστιν ὑπερβολή. Σκοπῶμεν γάρ. Ἐπιθυμίαν ταῖς ψυχαῖς 159
ἐνέθηκεν ὁ θεὸς, ἂν μέν του δέῃ, τυγχάνειν τοῦ ἀγαθοῦ, νοῆσαι δὲ δεῆσαι τῆς ἀληθείας, καὶ ταῦτα ποθοῦμεν καθαρὰ δήπου τὸ μὲν ἀγαθὸν τοῦ κακοῦ, τοῦ ψεύδους δὲ τὴν ἀλήθειαν· οὐ γάρ τις ἀπατώμενος χαίρει, οὐδ' ἂν ἡσθείη πλανώμενος καὶ κακῷ περιτυγχάνων ἀντ' ἀγαθοῦ. Τούτων ἐπιθυμοῦσιν οὐδὲ πώποτε ἐγένετο τυχεῖν καθαρῶς, 160
ἀλλὰ τὸ παρ' ἡμῖν ἀγαθὸν καὶ τὸ ἀληθὲς οὐ τοῦτό ἐστιν, ὃ καλεῖται μᾶλλον ἢ τοὐναντίον· ὅθεν οὐδὲ ἡ τῆς ἀγάπης ἐνταῦθα δύναμις οὐδὲ ἡ τῆς χαρᾶς ἐν ἡμῖν δῆλον ἦν ὁπόση τις ἦν, ἃ φιλεῖν ἔδει καὶ οἷς χαίρειν ἦν μὴ παρόντων, οὐδὲ ὁ τοῦ πόθου δεσμὸς γνώριμος οὐδὲ τὸ πῦρ ὅσον. Ἦν γὰρ τὸ ποθούμενον οὐδαμοῦ· τοῖς δὲ γευσα- 161
μένοις σοῦ σωτῆρος αὐτὸ πάρεστι τὸ ποθούμενον, πρὸς ὃν ὁ ἀνθρώπινος ἔρως ὥσπερ εἰς κανόνα τινὰ καὶ ὅρον κατεσκευάσθη τὸ ἐξ ἀρχῆς, καθάπερ θησαυρὸς οὕτω μέγας οὕτω εὐρὺς, ὥστε θεὸν ὑποδέξασθαι δυνηθῆναι. Ταῦτ' ἄρα καὶ πάντων τυγχάνουσι τῶν ἐν τῷ βίῳ καλῶν οὐδείς ἐστι κόρος, οὐδ' ἵστησιν οὐδὲν τὴν ἐπιθυμίαν, ἀλλ' ἔτι διψῶμεν, ὥσπερ εἰ μηδενὶ παρῆμεν ὧν ἐποθοῦμεν. Ἡ 162
γὰρ τῶν ἀνθρωπίνων ψυχῶν δίψα ἀπείρου δεῖταί τινος ὕδατος· ὁ δὲ κόσμος οὗτος πεπερασμένος ἀρκέσαι δὴ πῶς δύναιτ' ἄν! Καὶ τοῦτό ἐστιν, ὅπερ ὁ κύριος αἰνίττεται πρὸς τὴν Σαμαρείτιδα λέγων, „ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν

---

160. *οὐ τοῦτό — μᾶλλον.* C. mutato ordine: *οὐ τοῦτο, ὃ καλεῖται, ἐστὶ μᾶλλον.*

161. *τοῖς δὲ γευσαμένοις.* Hunc quoque locum §. 161—165. Jahnius elegit l. c. p. 740—42. — *ποθούμενον.* Conf. §. 133. 36. — *ὥστε θεόν.* A. B. *ὡς θεόν.*

162. *ὁ πίνων.* Joh. 4, 14. *ὃς δ' ἂν πίῃ.* A. B. *πίοι.*

αἰῶνα.“ Τοῦτο γάρ ἐστι τὸ ὕδωρ, ὁ τὴν ἐπιθυμίαν ἵστησι
163 τῶν ἀνθρωπίνων ψυχῶν. „Χορτασθήσομαι γάρ φησιν ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.“ Καὶ γὰρ ὀφθαλμὸς μὲν κατεσκευάσθη οἷος πρὸς τὸ φῶς ἀρκέσαι, καὶ ἀκοὴ πρὸς ἤχους, καὶ ἕκαστον οἷς ἁρμόττει· ψυχῆς δὲ ἐπιθυμία πρὸς τὸν Χριστὸν ἴεται μόνον. Καὶ τὸ κατάλυμα τοῦτό ἐστιν αὐτῇ, ὅτι καὶ ἀγαθὸν καὶ ἀληθεια καὶ ὁτιοῦν, ὧν
164 ἐστιν ἔρως, μόνος ἐστί. Τούτων ἕνεκα καὶ κωλύει τοὺς τυχόντας οὐδὲν φιλεῖν, ὅσον ἔρωτος ἐξ ἀρχῆς ταῖς ψυχαῖς ἐνετέθη, καὶ χαίρειν, ὅσον δύναται χαίρειν ἡ φύσις, καὶ εἴτι προσέθηκεν αὐτοῖς ἀρετὴ καὶ τὸ τῆς ἀναγεννήσεως ὕδωρ. Ἐπὶ μὲν γὰρ τῶν ἐν τῷ βίῳ καλῶν οὔτε τὸν ἔρωτα οὔτε τὴν χαρὰν ἐνεργὸν εἶναι δυνατὸν ψευδομένων τὴν ἐπωνυμίαν· εἰ γάρ τι καὶ δοκεῖ καλὸν, φαῦλόν ἐστιν εἴδω-
165 λον τοῦ ἀληθοῦς. Ἐνταῦθα δὲ, οὐδενὸς ὄντος ὃ κωλύσει, θαυμαστὸν καὶ ἄῤῥητον διαδείκνυται τὸ φίλτρον καὶ ἡ χαρὰ οὐδ' ὅση μηνύσαι· μάλιστα μὲν ὅτι πρὸς ἑαυτὸν ἑκάτερον τῶν παθῶν τούτων ἔταξεν ὁ θεός, ἵνα αὐτὸν μὲν φιλῶμεν, αὐτῷ δὲ χαίρωμεν μόνῳ· καί ἐστιν ἀκόλουθον, οἶμαι, λόγον τινὰ πρὸς τὸ ἄπειρον ἀγαθὸν ἐκεῖνο σώζειν καὶ τοῦτον ὡς εἰπεῖν τὸν τρόπον σύμμετρον εἶναι.

166 Σκοπῶμεν δὴ τὸ μέγεθος ὅσον, ἔπειτα τῆς ὑπερβολῆς κἀκεῖνο σημεῖον. Πάντων γὰρ, ὧν ὑπῆρξεν εἰς ἡμᾶς ἀγαθῶν, μόνην ἀμοιβὴν ἠγεῖτο τὸ φίλτρον, καὶ τοῦτο παρ' ἡμῶν εἰ λάβοι, λύει τὸ χρέος· ὃ τοίνυν ἀπείρων ἐστὶν ἀντίῤῥοπον ἀγαθῶν παρά γε θεῷ δικαστῇ
167 πῶς οὐχ ὑπερφυές; Πρόδηλον δὲ ὅτι τῇ τῆς ἀγάπης ὑπερβολῇ παντάπασιν ἐφάμιλλος ἡ χαρά· καὶ τῷ φίλτρῳ συμβαίνει διὰ πάντων τὸ γάννος καὶ ἀκολουθεῖ μεγίστῳ

163. *Χορτασθήσομαι.* Ps. 16, 15.
164. *εἰ γάρ τι.* Jahn contulit Plat. Sympos. p. 212. A.
165. *ἄπειρον ἀγαθόν.* i.q. *τὸ ποθούμενον* §. 161. — *ἀγαθὸν ἐκεῖνο.* B. *ἐκείνῳ.* Post *τὸν τρόπον* C. om. *σύμμετρον.*
166. *λύει τὸ χρέος.* C. *λύοι.* Vs. *nomina expungit.*
167. *τὸ γάννος.* Sic codd. quamquam vulgaris scriptio est *γάνος* Conf. Clem. Alex. Strom. V. p. 566. Sylb. — *τελέως.* C. *τελείως.*

μέγιστον. Φαίνεται τοίνυν ταῖς ἀνθρωπίναις ψυχαῖς, ἀγάπης καὶ χαρᾶς μεγάλην τινὰ καὶ θαυμαστὴν ἀποκεῖσθαι παρασκευὴν καὶ παρόντος τοῦ ὡς ἀληθῶς χαρίεντος καὶ ἀγαπητοῦ πηνικαῦτα τελέως ἐνεργὸν εἶναι· καὶ τοῦτό ἐστιν, ὅπερ χαρὰν ὁ σωτὴρ πεπληρωμένην καλεῖ. Διὰ ταῦτα 168
καὶ τοῦ πνεύματος ἐπιδημιήσαντος ὀτῳοῦν καὶ τῶν αὐτοῦ μεταδόντος τῶν ἀνασχόντων ἐκεῖθεν καρπῶν, τὰ πρώτην ἔχοντα τάξιν ἀγάπη ἐστὶ καὶ χαρά. „Ὁ γὰρ καρπὸς τοῦ πνεύματός φησιν ἀγάπη, χαρά·“ τὸ δὲ αἴτιον, ὅτι τοῦτο πρῶτον αὑθησιν ἑαυτοῦ παρέχει ταῖς ψυχαῖς ἐπιδημιῶν ὁ θεός. Αἰσθανόμενος δὲ τοῦ ἀγαθοῦ καὶ φιλεῖν καὶ χαί- 169
ρειν ἀνάγκη, ἐπεὶ καὶ σωματικῶς φανεὶς τοῖς ἀνθρώποις τοῦτο πρῶτον παρ' ἡμῶν ἀπήτει, τὴν ἐπίγνωσιν τὴν ἑαυτοῦ· καὶ τοῦτο ἐδίδασκε καὶ τοῦτο εἰσῆγεν εὐθὺς, μᾶλλον δὲ διὰ τοῦτο μέχρις αἰσθήσεως ἦλθε καὶ ὑπὲρ τούτου τὸ πᾶν εἰργάσατο: „καὶ γὰρ εἰς τοῦτό φησι γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.“ Ἀλήθεια δὲ ἄρα αὐτὸς ἦν, μονονοὺ λέγων, 170
ἵνα ἐμαυτὸν ἀναδείξω. Τοῦτο καὶ νῦν ποιεῖ τοῖς βαπτιζομένοις ἐπιδημιῶν, καὶ μαρτυρεῖ τῇ ἀληθείᾳ, τὸ μὲν δοκοῦν ἀγαθὸν ἐκβάλλων, τὸ δὲ ἀληθὲς εἰσάγων καὶ προδεικνὺς καὶ, ὅ φησιν αὐτὸς, αὐτὸς ἑαυτὸν αὐτοῖς ἐμφανίζων.

Ταῦτα δὲ ὡς ἀληθῆ καὶ τὸ λουτρὸν οἱ λούμενοι τοῦτο 171
θεοῦ τινα δέχονται πεῖραν, φαίνεται μὲν, ἥπερ ἔφην, ἀπὸ τῶν πραγμάτων αὐτῶν. Εἰ δὲ δεῖ καὶ μαρτυριῶν, πολλῶν καὶ θεοφιλῶν ὄντων καὶ τὰ μεγάλα παρ' αὐτῷ δυνηθέντων, ᾧ μαρτυροῦσι, μάλιστα πάντων ὃς ἀντὶ πάντων παρελθὼν ἀρκέσειεν ἂν Ἰωάννης ὁ φαιδροτέραν μὲν τῆς

---

168. *Ὁ γὰρ καρπός.* Gal. 5, 22.

169. *Καὶ γὰρ εἰς.* Joh. 18, 37. ac deinde Joh. 14, 22.

171. *οἱ λούμενοι.* C. *λουόμενοι.* — *ἀρκέσειεν.* In C. margini adscriptum rubro colore: *Ἰωάννης οὗτος δοκεῖ ἡ χρυσῆ καὶ καλλικέλαδος γλῶττα.* Desumtus est hic locus Chrysostomi ex homil. VII. in 2 Cor. 3. Opp. tom. V, p. 576. 77. ed. Front. Duc.

ἀκτῖνος τὴν ψυχὴν ἔχων, λαμπροτέραν δὲ χρυσοῦ τὴν
172 φωνὴν. Δεῖ δὲ τῆς ἀγαθῆς γλώσσης ἀναγνῶναι τὰ ῥήματα. „Τί δέ ἐστι, τὴν δόξαν κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα; Σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἥνικα τῶν σημείων τὰ χαρίσματα ἐνήργει· πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι. Ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει τῷ πνεύματι κα-
173 θαιρομένη. Καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθα τὴν αἴγλην· ὥσπερ ἂν εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος καὶ αὐτὸς ἀκτῖνας ἐκπέμποιεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς, οὕτω δὴ καὶ ἡ ψυχὴ καθαιρομένη καὶ ἀργύρου παντὸς λαμπροτέρα γινομένη δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ πνεύματος εἰς δόξαν τὴν ἐγγινομένην καὶ τοιαύτην, οἵαν
174 εἰκὸς ἀπὸ κυρίου πνεύματος.“ Καὶ μετ' ὀλίγα. „Βούλει σοι δείξω τοῦτο καὶ ἀπὸ τῶν ἀποστόλων αἰσθητικώτερον; Ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει, Πέτρου, οὗ καὶ αἱ σκιαὶ ἴσχυον. Οὐ γὰρ ἂν, εἰ μὴ βασιλέως ἔφερον εἰκόνα καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαὶ, τοσοῦτον τὰ ἱμάτια αὐτῶν καὶ αἱ σκιαὶ ἐνήργησαν· βασιλέως γὰρ
175 ἱμάτια καὶ τοῖς λησταῖς φοβερά. Θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; „ἀτενίσαντές φησιν εἰς τὸ πρόσωπον Στεφάνου εἶδον ὡς πρόσωπον ἀγγέλου.“ Ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν· ὅπερ γὰρ ὁ Μωυσῆς ἐπὶ τοῦ προσώπου τότε εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον, μᾶλλον δὲ καὶ πολλῷ πλέον.
176 Τὸ μὲν γὰρ Μωυσέως αἰσθητικώτερον ἦν, τοῦτο δὲ ἀσώματον· καὶ καθάπερ πῦρ αὐγῇ σώματα ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὸ πλήσιον ἀποῤῥέοντα καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς, οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν

---

172. *τὴν δόξαν κυρίου.* 2 Cor. 3, 18. — *οὐδὲ νῦν.* C. *οὐδὲν ἦν.*
175. Act. 6, 15. Exod. 34, 29. 30.

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος τρίτος.

Τίνα συντέλειαν αὐτῇ παρέχεται τὸ θεῖον μύρον.

Οὕτω δὲ πνευματικῶς συστάντας καὶ τοῦτον γεγεν- 1
νημένους τὸν τρόπον καὶ ἐνεργείας ἀκόλουθον ἂν εἴη τυγχάνειν, ἣ τοιᾷδε γεννήσει προσήκει, καὶ κινήσεως καταλλήλου. Καὶ τοῦτο ἡμῖν ἡ τελετὴ τοῦ θειοτάτου 2
δύναται μύρου· καὶ γὰρ ἐνεργοὺς ποιεῖ τὰς πνευματικὰς ἐνεργείας, τὸν μὲν ταύτην τὸν δὲ ἐκείνην τὸν δὲ πλείους, ὡς ἕκαστος πρὸς τὸ μυστήριον ἔχει παρασκευῆς. Καὶ γίνεται νῦν τοῖς λελουμένοις, ὅπερ ἐπὶ τῶν προτέρων χρόνων αἱ τῶν ἀποστόλων χεῖρες τοῖς ἐπ᾽ ἐκείνων βαπτιζομένοις· καὶ γὰρ ἐπιτιθέντων τὰς χεῖρας τῶν ἀποστόλων τοῖς μεμυημένοις φησὶ τὸ πνεῦμα ἐδίδοτο, καὶ νῦν ὁ παράκλητος χριομένοις ἐπιδημεῖ. Τεκμήρια δέ. Πρῶτον μὲν τοῦ παλαιοῦ 3
νόμου καὶ βασιλέας χρίοντος τὸν ἴσον τρόπον καὶ ἱερέας, ὁ τῆς ἐκκλησίας θεσμὸς ἐκείνους τῷ μύρῳ βασιλεύων τοῖς ἱερεῦσιν ἐπιτίθησι χεῖρας καὶ τὴν τοῦ πνεύματος εὔχεται

Liber tertius. *παρέχεται - μύρον.* C. *τὸ ἱερὸν παρέχεται μύρον.* **Cod. Reg.:** *ἢ περὶ τοῦ θειοτάτου μύρου, ἤγουν τίνα συντέλειαν αὐτῇ δίδωσιν ἡ τούτου τελετή.* **Casaubon. l. c. p. 449.**

2. *δύναται μύρου.* **Conf. Cyr. Hier. cat. myst. III. Constit. apost. III. cp. 17. Dionys. Hier. eccl. cp. II. p. 260. Adde Prolegom. sect. VI. —** *τοῖς ἐπ᾽ ἐκείνων βαπτ.* **B.** *ὑπ᾽ ἐκείνων.* **Cf. Act. 8, 38. 39. 10, 47. 48.**

κεφαλῇ καὶ αὐτὸ γράφει τὸ πνεῦμα καὶ τῆς αὐτοῦ παρ-
181 ουσίας αἴνιγμα φέρει τὸ σχῆμα. Καὶ γὰρ εἰς εἰκόνα
γλώσσης πεποίηται, καθάπερ οἷόν τε καὶ ἱμάτιον τῇ κε-
φαλῇ σώζειν καὶ τὸ σχῆμα τοῦτο νομίζειν, ἐν ᾧ τὸ πνεῦμα
τοὺς ἀποστόλους ἐξ ἀρχῆς ἐφάνη βαπτίζον. Ἐπεὶ καὶ
τοῦτο τοῦ σώματος αὐτῶν τηνικαῦτα κατέσχε τὸ μέρος,
καὶ ἦν ἐπὶ τῆς κεφαλῆς ἑκάστου πῦρ ἰδεῖν ἐν σχήματι
γλώττης, ἵν' οἶμαι τῷ τῆς γλώττης εἴδει τῆς καθόδου μη-
νύσῃ τὴν πρόφασιν, ὅτι τὸν συγγενῆ λόγον ἑρμηνεῦσον
182 ἐλήλυθε καὶ διδάξον ἀγνοοῦσι. Τοῦτο γάρ ἐστι γλώτ-
της, ἡ τἄνδον ἐκφέρει τῶν ἀφανῶν τοῦ νοῦ κινημ-
μάτων ἄγγελος οὖσα. Καὶ γὰρ ὁ μὲν τὸν γεγεννηκότα, τὸν δὲ τὸ πνεῦμα κηρύττει. „Ἐγὼ γάρ φησιν ἐδόξασά σε," πρὸς τὸν πατέρα, „καὶ οὗτος ἐμὲ δοξάσει," τὸν παράκλητον λέγων· ἀντὶ τούτων μὲν ἐκείνοις ἐν τούτῳ
183 φαίνεται τῷ τόπῳ. Τὸ σύμβολον δὲ ἡμῖν εἰς ἐκεῖνο φέρει τὸ θαῦμα, τὸν λογισμὸν καὶ τὴν ἡμέραν ἐκείνην τὴν καλὴν, ἣ τοῦ βαπτίσματος τὴν πρώτην εἶδε καταβολήν, ἵν' εἰδῶμεν, ὡς οἱ μὲν, οἷς ἐπῆλθε πρώτοις τὸ πνεῦμα, τοῖς ἑξῆς μετέδοσαν, καὶ οὗτοι τοῖς μετ' ἐκείνους καὶ μέχρις ἡμῶν οὕτως ἦλθε βαδίζον· καὶ οὐκ ἐπιλείψει τὸ δῶρον,
184 ἕως ἂν ἡμῖν αὐτὸς ἐναργῶς ὁ χορηγὸς ἐπιστῇ. Τότε μὲν οὖν τοῖς μακαρίοις ὁ δεσπότης καθαρὰν αἴσθησιν ἑαυτοῦ παρέξει τῶν ἐπιπροσθούντων ἀνῃρημένων, νῦν δὲ ὥσπερ ἔξεστι τοῖς σαρκὶ παχείᾳ καλυπτομένοις. Ταύτης τῆς αἰσθήσεως ἡ ἄῤῥητος χαρὰ καὶ ἡ ὑπερφυὴς ἀγάπη καρπός· τούτων δὲ τὸ μέγεθος τῶν κατορθωμάτων καὶ ἡ θαυμαστὴ τῶν ἔργων ἐπίδειξις καὶ τὸ διὰ πάντων νικῶντας καὶ στε-

---

181. Conf. Heineccius Abbildungen, Th. II, S. 244. Th. III. S. 298.

182. Ἐγὼ γάρ. Joh. 17, 4. 19, 14.

183. οὕτως ἦλθε βαδίζον. C. ἦλθεν οὕτω β. — ἐναργῶς. om. C. Idem pro ἐπιστῇ h. ἐπισταλῇ.

184. τὸ διὰ πάντων. C. δι' ἁπάντων.

φανηφοροῦντας ἰέναι. Τούτοις γὰρ ὡπλισμένους τοῖς ὅπλοις 185
οὔτε τῶν δεινῶν οὔτε τῶν ἡδέων ἡττηθῆναι δυνατὸν ἦν· καὶ γὰρ ἡ μὲν χαρὰ τῶν ἀνιαρῶν κατεκράτει, τὰ δὲ ἡδέα οὔτε ἑλκύσαι εἶχεν οὔτε ἐκλῦσαι τοσαύτῃ δυνάμει τῶν φίλτρων συνεστῶτας καὶ δεδεμιένους. Τοῦτο τοῦ βαπτί- 186
σματος τὸ ἔργον· ἁμαρτιῶν ἀπολῦσαι, ἀνθρώπῳ θεὸν καταλλάξαι, θεῷ τὸν ἄνθρωπον εἰσποιῆσαι, ὀφθαλμὸν ταῖς ψυχαῖς ἀνοῖξαι, τῆς θείας ἀκτῖνος τὸ σύμπαν εἰπεῖν πρὸς τὸν μέλλοντα βίον παρασκευάσαι. Οὐκοῦν εἰκότα ποιοῦμεν ὄνομα αὐτῷ τιθέμενοι γέννησιν καὶ ἃ τὸν ἴσον δύναται λόγον, τά τε ἄλλα καὶ ὅτι θεοῦ γνῶσιν ταῖς ψυχαῖς ἀνατέλλει τῶν τελουμένων. Τὸ δέ ἐστι ζωὴ καὶ κρηπὶς 187
καὶ ῥίζα ζωῆς, τὸ μὲν αὐτοῦ τοῦ σωτῆρος ὁρισαμένου τὴν αἰώνιον ζωὴν ἐν τῷ γινώσκειν τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν, τὸ δὲ πρὸς τὸν θεὸν τοῦ Σολομῶντος εἰπόντος, „τὸ ἐπίστασθαί σε ῥίζα ἀθανασίας.“ Εἰ δὲ δεῖ προσθεῖναι καὶ λογισμὸν, τίς δὲν οἶδε, τὸ ἀληθινὸν εἶναι τῶν ἀνθρώπων καὶ περιεῖναι τοῦτο αὐτὸ εἶναι τὸ λογίζεσθαι καὶ γινώσκειν! Εἰ δὲ ἐν τῷ λογίζεσθαι καὶ γινώσκειν τοῖς ἀνθρώποις 188
ἐστὶ τὸ εἶναι, εἴη ἂν ἐν τῇ πασῶν βελτίστῃ γνώσει καὶ ψεύδους ἀπηλλαγμιένῃ· τοῦ δὲ τὸν θεὸν γινώσκειν, αὐτοῦ τὸν ὀφθαλμὸν τῆς ψυχῆς ἀνοίγοντος καὶ πρὸς ἑαυτὸν ἐπιστρέφοντος τοῦ θεοῦ, τίς ἂν καλλίων γένοιτο γνῶσις καὶ καθαρωτέρα πλάνης ἀπάσης· ἡ δέ ἐστι τοῦ βαπτίσματος καρπός.

Ἀποδέδεικται ἄρα διὰ τῶν εἰρημιένων ἁπάντων, τῆς 189
ἐν Χριστῷ ζωῆς ἀρχὴν καὶ τοῦ εἶναι καὶ ζῆν τοὺς ἀνθρώπους καὶ περιεῖναι τὴν ἀληθῆ ζωὴν καὶ οὐσίαν τὸ μυστή-

---

185. *ὡπλισμένους.* Scripsi cum A. B., tertius *ὡπλισμένοις.* — *ἑλκύσαι* — *ἐκλῦσαι.* „Jucunda enim eos nec distrahere nec debilitare possunt, qui tanta vi amoris continentur et devincti sunt.“

187. Joh. 17, 3. Sap. 15, 3.

188. *ἡ δέ ἐστι.* A. *ἥ δέ ἐστι.*

ριον αἴτιον εἶναι. Εἰ δὲ μὴ πᾶσι ταῦτα τοῖς βαπτιζομένοις ἀκολουθεῖ, ἀσθένειαν οὐ προσῆκε καταγνῶναι τοῦ μυστηρίου· τοῖς δὲ τελουμένοις λογιστέον ἐστὶ τὸ πάθος, ἢ μὴ παρεσκευασμένοις εὖ πρὸς τὴν χάριν, ἢ προδοῦσι τὸν θη-
190 σαυρόν. Πόσῳ γὰρ ἀξιώτερον τὴν διαφορὰν ταύτην εἰς αὐτοὺς ἀνάγειν τοὺς τελουμένους διάφορον τρόπον τῷ βαπτίσματι χρησαμένους, ἢ τὴν τελετὴν, μίαν ἐν ἅπασι
191 καὶ τὴν αὐτὴν οὖσαν, τῶν ἐναντίων αἰτιᾶσθαι! Πρόδηλον μὲν γὰρ, ὡς οὔτε φύσεως οὔτε ἀσκήσεως ὁ τῶν εἰρημένων ἀγαθῶν σωρὸς, ἀλλὰ τοῦ βαπτίσματος ἔργον· εἰ δὲ καὶ τοὐναντίον ἐκεῖθεν, πῶς οὐκ ἄτοπον τὸ αὐτὸ καὶ δύνασθαι φωτίζειν καὶ μὴ, καὶ οὐρανίους ποιεῖν καὶ οὐδὲν
193 τῶν γηΐνων ὑψηλοτέρους. Ἀλλ' οὔτε τὸν ἥλιον μεμψόμεθα οὐδ' ἂν ὡς ὀφανοῦς καταγνοῖμεν, ὅτι μὴ τὴν ἀκτῖνα πάντες ὁρῶσιν, ἀπὸ δὲ τῶν ὁρώντων τὰς ψήφους οἴσομεν, οὔτε τὸ φώτισμα εἰκότα ἂν ποιοῖμεν, ἄλλο τι δύνασθαι νομίσαντες ἢ αὐτὸ τοῦτο ὅθεν καλεῖται.

---

193. *πάντες ὁρῶσιν.* C. *πάντως.* — *ὅθεν καλεῖται.* A. add. rubro colore: *Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ ἐλέησόν με.*

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος τρίτος.

Τίνα συντέλειαν αὐτῇ παρέχεται τὸ θεῖον μύρον.

Οὕτω δὲ πνευματικῶς συστάντας καὶ τοῦτον γεγενημένους τὸν τρόπον καὶ ἐνεργείας ἀκόλουθον ἂν εἴη τυγχάνειν, ἣ τοιάδε γεννήσει προσήκει, καὶ κινήσεως καταλλήλου. Καὶ τοῦτο ἡμῖν ἡ τελετὴ τοῦ θειοτάτου μύρου· καὶ γὰρ ἐνεργοὺς ποιεῖ τὰς πνευματικὰς ἐνεργείας, τὸν μὲν ταύτην τὸν δὲ ἐκείνην τὸν δὲ πλείους, ὡς ἕκαστος πρὸς τὸ μυστήριον ἔχει παρασκευῆς. Καὶ γίνεται νῦν τοῖς λελουμένοις, ὅπερ ἐπὶ τῶν προτέρων χρόνων αἱ τῶν ἀποστόλων χεῖρες τοῖς ἐπ' ἐκείνων βαπτιζομένοις· καὶ γὰρ ἐπιτιθέντων τὰς χεῖρας τῶν ἀποστόλων τοῖς μεμυημένοις φησὶ τὸ πνεῦμα ἐδίδοτο, καὶ νῦν ὁ παράκλητος χριομένοις ἐπιδημεῖ. Τεκμήρια δέ. Πρῶτον μὲν τοῦ παλαιοῦ νόμου καὶ βασιλέας χρίοντος τὸν ἴσον τρόπον καὶ ἱερέας, ὁ τῆς ἐκκλησίας θεσμὸς ἐκείνους τῷ μύρῳ βασιλεύων τοῖς ἱερεῦσιν ἐπιτίθησι χεῖρας καὶ τὴν τοῦ πνεύματος εὔχεται 1 2 3

Liber tertius. *παρέχεται - μύρον.* **C.** *τὸ ἱερὸν παρέχεται μύρον.* **Cod. Reg.:** *ἢ περὶ τοῦ θειοτάτου μύρου, ἤγουν τίνα συντέλειαν αὐτῇ δίδωσιν ἡ τούτου τελετή.* **Casaubon. l. c. p. 449.**

2. *δύναται μύρου.* **Conf. Cyr. Hier. cat. myst. III. Constit. apost. III. cp. 17. Dionys. Hier. eccl. cp. II. p. 260. Adde Prolegom. sect. VI. —** *τοῖς ἐπ' ἐκείνων βαπτ.* **B.** *ὑπ' ἐκείνων.* **Cf. Act. 8, 38. 39. 10, 47. 48.**

χάριν, ὅπερ ἐστὶ δεικνύντος, καὶ τοῦτο κἀκεῖνο πρὸς ταὐτὰ
4 φέρειν καὶ τὴν αὐτὴν ἄμφω δύναμιν ἔχειν. Ἔπειτα καὶ
τῶν ὀνομάτων κοινωνοῦσιν ἀλλήλοις, καὶ χρίσμα μὲν
ἐκεῖνο, πνεύματος δὲ κοινωνία τοῦτο· τήν τε γὰρ τῶν
ἱερέων χειροτονίαν οἱ θειότατοι τῶν ἱερέων χρίσιν καλοῦσι,
καὶ ἔμπαλιν οὓς τὸ μυστήριον τοῦ μύρου τελοῦσι, κοινω-
νοὺς τοῦ ἁγίου πνεύματος εἶναι καὶ εὔχονται καὶ πιστεύ-
ουσι, καὶ τὴν τελετὴν, ὅ τί ποτέ ἐστι, τοῖς τελουμένοις
5 δεικνύντες πνευματικῆς δωρεᾶς σφραγῖδα καλοῦσι. Τοῦτο
γὰρ ἐπάδουσι χριομένοις. Ἔτι δὲ καὶ Χριστὸς αὐτὸς ὁ
δεσπότης οὐ κεθὲν τῇ κεφαλῇ δεξάμενος μύρον, ἀλλὰ διὰ
τὸ πνεῦμα ἅγιον, ὅτι τῆς πνευματικῆς ἐνεργείας ἁπάσης
τῆς σαρκὸς ἕνεκα τῆς ἀναληφθείσης ἐγένετο θησαυρός·
καὶ οὐ Χριστὸς μόνον ἀλλὰ καὶ χρίσμα· „μύρον γάρ φη-
σιν ἐκκενωθὲν ὄνομά σοι,“ τὸ μὲν ἐξ ἀρχῆς τὸ δ' ὕστε-
6 ρον. Ἕως μὲν γὰρ οὐκ ἦν, ᾧ τῶν αὐτοῦ μετέδωκεν ἂν
ὁ θεὸς, μύρον ἦν ἐφ' ἑαυτοῦ μένον· ἐπεὶ δὲ ἡ μακαρία
συνέστη σὰρξ ἡ τῆς θεότητος ἅπαν τὸ πλήρωμα δεξα-
μένη, ᾗ φησιν Ἰωάννης, οὐκ ἐκ μέτρου δέδωκεν ὁ θεὸς
τὸ πνεῦμα, πάντα δὲ τὸν ψυχικὸν ἐνέθηκε πλοῦτον, τηνι-
καῦτα εἰς αὐτὴν ἐκκενωθὲν ἤδη τὸ μύρον εἰκότως χρίσμα
7 καὶ ἔστι καὶ λέγεται. Τὸ γὰρ μεταδοθῆναι τοῦτο ἦν
αὐτῷ χρίσμα τε γενέσθαι καὶ κενωθῆναι· οὐ γὰρ ἤμειψε
τόπον οὐδὲ διεῖλε τεῖχος οὐδ' ὑπερέβη, ἀλλὰ τὸ διεῖργον
τῶν ἡμετέρων αὐτὸν, ὅπερ αὐτὸς ἀποδείξας οὐδὲν ἀφῆκε
8 μέσον. Ἀνθρώπων γὰρ ὁ θεὸς οὐ τόπῳ διέφερεν ὅ γε πάντα
τόπον κατέχων, ἀλλὰ διαφορᾷ διίστατο, καὶ ἡ φύσις αὐτὴν

---

3. *πρὸς ταὐτὰ φέρειν.* **B.** *ταύτην.* **C.** *αὐτό.* — *εὔχεται χάριν.* **Theophyl. in 2 Cor. 1, 21:** *ὥσπερ οὖν τὸ παλαιὸν οἱ ἱερεῖς καὶ βασιλεῖς ἐχρίοντο τῷ ἐλαίῳ, οὕτω καὶ νῦν πνεύματι ἐχρίσθημεν.* **Suiceri Thes: s. v.** *χρίσμα.*

5. *μύρον — — ἐκκεν* **Cant. 1, 3.**

6. *ἐκ μέτρου δέδωκεν.* **B.** *δίδωσιν.* **Joh. 3, 34.**

7. *ἡμετέρων αὐτόν.* **B.** *αὐτῶν ἀλλὰ τὸ διεῖργον.* **scil.** *διεῖλε.*

8. *φύσις αὐτὴν αὐτή.* **B.** *αὐτῇ.* **In A. hic margini rubro colore adscriptum legitur:** *ση. (μείωσαι) ἀκριβῶς.*

τοῦτον πνεῦμα σοφίας ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ πνευμα συνέσεως καὶ βουλῆς καὶ ἰσχύος καὶ εὐσεβείας καὶ τῶν ἄλλων, ὧν ἐπωνύμους δείκνυσιν, οἷς μεταδίδωσι τῶν αὐτοῦ.

Πάντας μὲν οὖν τοὺς μεμυημένους τὰ ἑαυτοῦ ποιεῖ 27
τὸ μυστήριον· αἴσθησις δὲ τῶν δώρων καὶ σπουδὴ περὶ τὸν πλοῦτον, ὥστε χρήσασθαι τοῖς δεδομένοις, οὐ πᾶσι, — τοῖς μὲν διὰ τὴν ἡλικίαν οὔπω λαβεῖν νοῦν δυνηθεῖσι, τοῖς δὲ τῷ μὴ παρεσκευάσθαι μηδὲ τὴν γιγνομένην ἐπιδείξασθαι προθυμίαν, ὧν ἐνίοις ὕστερον ὧν ἥμαρτον μετάνοια καὶ δάκρυα καὶ βίος κατὰ τὸν ὀρθὸν λόγον τὴν ἐντεθεῖσαν ταῖς ψυχαῖς ὑπέδειξε χάριν. Ὅθεν καὶ Παῦ- 28
λος Τιμοθέῳ γράφων „μὴ ἀμέλει φησὶ τοῦ ἐν σοὶ χαρίσματος,“ ὡς οὐδὲν ὂν πλέον ἡμῖν καὶ τὸ δῶρον δεξαμένοις ἂν ῥαθυμῶμεν, καὶ ὅτι δεῖ πόνου καὶ ἀγρυπνίας τοῖς βουλομένοις ἐνεργὸν τὰ τοιαῦτα τὴν ψυχὴν ἔχειν· ὥστε εἴ τις τῶν σπουδαίων ἀγάπῃ φαίνεται διενεγκὼν ἢ καθαρότητι σωφροσύνης ἢ ταπεινοφροσύνης ὑπερβολῇ ἢ εὐσεβείας ἢ τῶν τοιούτων τινὸς ὑπὲρ τὸ εἰκὸς τῶν ἀνθρώπων τούτων, αἰτιᾶσθαι δεῖ τὸ θειότατον μύρον καὶ πιστεύειν αὐτῷ δεδόσθαι μὲν, ὅτε τοῦ μυστηρίου μετεῖχε, τὸ δῶρον, γενέσθαι δὲ ἐνεργὸν ὕστερον· τὸν ἴσον τρόπον καὶ περὶ τῶν 29
ἀκριβῶς μελλόντων λέγειν εἰδέναι, καὶ τοῖς τὴν γνώμην ἐλαυνομένοις καὶ ἄλλως ἀσθενοῦσι σωτῆρας εἶναι πέρα μηχανῆς ἀπάσης, καὶ τἆλλα τοὺς ἐπιδειξαμένους ἀπὸ τοῦ μυστηρίου λαβόντας ἔχειν. Εἰ γὰρ μήτε παρ' αὐτὸ τὸ τε- 30
λεῖσθαι τὸ μυστήριον ἐνεργοὺς δείκνυσι τοὺς τελουμένους τὰς πνευματικὰς ἐνεργείας, μήτε ὧν χρόνῳ ὕστερον αὐτοὶ πνευματικῶς ἐνεργοῦσι, τὴν τελετὴν αἰτιᾶσθαι προσῆκε, τί δεῖ καὶ μυηθῆναι, πρὸς τί δ' ἂν ἡμῖν ἡ τοῦ μύρου τοῦ θείου μύησις ἔτι φέροι, χορηγεῖν ὑπὲρ οὗ ζητεῖται μὴ

---

27. τῷ μὴ παρεσκ. A. τὸ μή. B. τῷ τὸ μή. C. τὰ μή.
28. μὴ ἀμέλει. 1 Tim. 4. 14.
29. τὴν γνώμην ἐλαυνομένοις. **Qui vehementi animi impetu agitantur, i. e. mente capti sunt, saeviunt. Vs. falso: *animos impulsuri*.**

σταυροῦ, τὸ δὲ τελευταῖον τεῖχος, τὴν τοῦ θανάτου τυραν-
13 νίδα, παντάπασι τῆς φύσεως ἐξέβαλεν ἀναστάς. Διὰ τοῦτο
Παῦλος „ἔσχατος ἐχθρός φησι καταργεῖται ὁ θάνατος,“
οὐκ ἂν ἐχθρὸν αὐτὸν προσειπὼν, εἰ μὴ πρὸς τὴν ἀληθινὴν
ἡμῖν εὐδαιμονίαν ἐμποδὼν ἦν· τοὺς γὰρ τοῦ ἀθανάτου
14 θεοῦ κληρονόμους ἀνάγκη δὴ φθορᾶς ἀπηλλάχθαι. „Οὐ
γὰρ ἡ φθορά φησι τὴν ἀφθαρσίαν κληρονομεῖ·“ μετὰ γὰρ
τὴν κοινὴν τῶν ἀνθρώπων ἀνάστασιν, ἧς αἴτιον ἡ τοῦ
σωτῆρος ἀνάστασις, τὸ μὲν ἔσοπτρον ὑποχωρεῖ καὶ τὸ αἴ-
νιγμα, ὄψονται δὲ πρόσωπον πρὸς πρόσωπον τὸν θεὸν οἵ
γε τὴν καρδίαν κεκαθαρμένοι.

15 Τὸ μὲν οὖν τῆς τελετῆς ἔργον τῶν ἐνεργειῶν τοῦ
ἀγαθοῦ πνεύματος μεταδοῦναι· τὸ μύρον δὲ αὐτὸν εἰσάγει
τὸν κύριον Ἰησοῦν, ἐν ᾧ πᾶσα μὲν ἀνθρώποις ἡ σωτηρία,
πᾶσα δὲ ἐλπὶς ἀγαθῶν, καὶ ὅθεν μὲν ἡμῖν ἡ τοῦ ἁγίου
πνεύματος μετουσία, δι' οὗ δὲ ἡ πρὸς τὸν πατέρα προσα-
16 γωγή. Τῆς γὰρ τῶν ἀνθρώπων ἀναπλάσεως κοινῇ μὲν
ἡ τριὰς τεχνίτης, αὐτουργὸς δὲ μόνος ὁ λόγος, οὐχ ὅτε
διατρίβων ἀνθρώποις ἐκοινώνησε μόνον καὶ „προσηνέχθη,
φησὶ Παῦλος, εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας,“ ἀλλ'
ἐξ ἐκείνου μέχρι παντὸς, ἕως τὴν φύσιν ἔτι φέρει τὴν
ἡμετέραν, δι' ἣν παράκλητον αὐτὸν ἔχομεν πρὸς τὸν θεὸν,
δι' ἑαυτοῦ μὲν καθαρίζει τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν
ἔργων, δι' ἑαυτοῦ δὲ τὸ πνεῦμα δίδωσι.

17 Τοῦτο τὸ μυστήριον ἐπὶ μὲν τῶν προτέρων χρόνων
χαρίσματα ἰαμάτων καὶ προφητείας καὶ γλωσσῶν καὶ τοι-
αῦτα τοῖς βαπτιζομένοις παρεῖχεν, ἃ τῆς ὑπερφυοῦς τοῦ
Χριστοῦ δυνάμεως ἀνθρώποις ἅπασιν ἀπόδειξιν εἶχε προ-
φανῆ· τούτων γὰρ ἔδει τηνικαῦτα τοῦ Χριστιανισμοῦ

---

13. *διὰ τοῦτο II.* 1 Cor. 15, 26. tum ad sequentia conf. 1 Cor. 15. 50. — *τοῦ ἀθανάτου θεοῦ.* B. C. *τ. θανάτου θ.*

15. *Τὸ — — τελετῆς.* B. C. *τελευτῆς.* Deinde ante *εἰσάγει* B. om. *αὐτόν.*

16. *κοινῇ μὲν ἡ τρ* C. *κοινή.* — Hebr. 9, 14. 28.

17. *εἶχε προφανῆ.* C. *περιφανῆ.*

πηγυμένου καὶ τῆς εὐσεβείας ἔτι καθισταμένης. Νῦν δὲ 18
καὶ τοιαῦτα μὲν ἐνίοις ἐκεῖθεν ὑπῆρξε, καὶ ἐφ' ἡμῶν, —
καὶ ἐπὶ τῶν ὀλίγῳ προτέρων καὶ περὶ τῶν μελλόντων εἶ-
πον, — καὶ δαίμονας ἐξέβαλον καὶ νόσων ἀπήλλαξαν εὐ-
ξάμενοι μόνον, καὶ οὐ περιόντες ἐν τῷ βίῳ μόνον, ἀλλ'
ἤδη καὶ τάφοι τὸ ἴσον ἐδυνήθησαν τῆς πνευματικῆς ἐνερ-
γείας οὐδὲ νεκρῶν ἀφισταμένης τῶν μακαρίων. Ἃ δὲ 19
Χριστιανοῖς ἑκάστοτε προμνᾶται τὸ μύρον, καὶ ὧν καιρὸς ἅπας ὁ χρόνος, χάρισμα εὐσεβείας καὶ εὐχῆς
καὶ ἀγάπης καὶ σωφρονισμοῦ καὶ τῶν ἄλλων, ἃ
τοῖς δεχομένοις αὐτοῖς ἐστιν ἐν καιρῷ· εἰ καὶ πολλοὺς τῶν
Χριστιανῶν ταυτὶ διαφεύγει, καὶ ὅση τίς ἐστιν ἡ τοῦ μυ-
στηρίου δύναμις λέληθε, καὶ κατὰ τὸ ἐν ταῖς πράξεσιν
εἰρημένον οὐδ' ὅ τι πνεῦμα ἅγιόν ἐστιν ἔγνωσαν, παρ'
αὐτὸ μὲν τὸ τελεῖσθαι τῷ πρὸ τῆς ἡλικίας τοῦ μυστηρίου
τυγχάνειν τῶν δώρων ἀναισθήτως διατεθέντες, ἐπὶ δὲ τῆς
ἡλικίας ἐφ' ἃ μὴ δεῖ τετραμμένοι καὶ τὸν τῆς ψυχῆς ἀπο-
τυφλώσαντες ὀφθαλμόν. Ὡς τό γε ἀληθὲς τὸ πνεῦμα κοι- 20
νωνεῖ τοῖς τελουμένοις τῶν ἑαυτοῦ, „διαιροῦν ἰδίᾳ ἑκάστῳ
καθὼς βούλεται,“ καὶ οὐκ ἐπέλιπεν ἡμᾶς ὁ δεσπότης εὐ-
εργετῶν, οἷς ἐπηγγείλατο συνεῖναι μέχρι παντός. Οὐ γὰρ
ἡ τελετὴ μάτην, ἀλλὰ καθάπερ ἄφεσιν ἁμαρτιῶν ἀπὸ τοῦ
θεσπεσίου λουτροῦ καὶ τῆς ἱερᾶς τραπέζης Χριστοῦ κομι-
ζόμεθα σῶμα, καὶ οὐκ ἂν παύσαιτο ταῦτα μέχρις ἂν
αὐτὸς φανερῶς ἡ τούτων ὑπόθεσις ἐπιστῇ, — τὸν ἴσον
τρόπον καὶ τοῦ θειοτάτου μύρου Χριστιανοὺς ἀπολαύειν
ἃ προσῆκε καὶ τῶν δωρεῶν τοῦ ἁγίου πνεύματος μετέχειν
πᾶσα ἀνάγκη. Ποῦ γὰρ ἀκόλουθον, τῶν ἱερῶν τελετῶν 21
τὰς μὲν ἐνεργοὺς εἶναι, τῆς δὲ μηδὲν ὄφελος εἶναι, καὶ
περὶ μὲν ἐκείνων κατὰ Παῦλον ἡγεῖσθαι τὸν ἐπαγγειλά-
μενον εἶναι πιστὸν, περὶ δὲ ταύτης ἀμφιγνοεῖν; Δέον ἢ
μηδεμιᾶς ἢ καὶ τῶν ἄλλων τὰ ἴσα καταψηφίζεσθαι, τῆς

---

20. *διαιροῦν*. 1 Cor. 12, 11.
21. *τὰ ἴσα καταψηφ*. B. *ἴσαν*.

δυναμένη; καὶ οὐδὲ ἐκεῖνο εἰκότως ἔστιν εἰπεῖν, ὡς εἰ μὴ ταῦτα ἀπολαύσομεν τοῦ χρίσματος, ἄλλο τι δύναιτ' ἂν
31 ἡμῖν ἡ τελετὴ βοηθεῖν. Εἰ γὰρ ἅπερ ἐπαγγέλλεται, καὶ πρὸς ἃ πᾶσα φέρεται, καὶ περὶ ὧν ὁ τελεστὴς εὔχεται, καὶ ἃ πείθει τὸν τελούμενον ὡς αὐτίκα λήψεται, τούτων τυχεῖν οὐ δίδωσιν, ἄλλο τι τῶν ἀγαθῶν ἐκεῖθεν σχολῇ γε δεῖ προσδοκᾶν· εἰ δ' οὐ μάτην τὸ μυστήριον, ὅτι μηδὲ ἄλλο τῶν Χριστιανικῶν οὐδέν, „οὐ γὰρ κενόν φησι τὸ κήρυγμα ἡμῶν οὐδὲ ματαία ἡ πίστις ἡμῶν," εἴ τινα πνευματικὴν ἐνέργειαν εὑρεῖν ἔστιν ἐν ἀνθρώποις καὶ τοῦ κύκλου τῶν ἐκεῖθεν χαρίτων, εἰς τὰς εὐχὰς ἀναφέρειν ἀνάγκη ταύτας καὶ τὸ χρίσμα τὸ ἱερόν.

32 Ὅλως γὰρ οὔτε ἔστιν οὐκ ἔστιν οὐδὲν ἀγαθὸν, ὃ τῷ θεῷ διαλλαγεῖσιν ἐκεῖθεν ὑπῆρξεν ἀνθρώποις, ὃ μὴ διὰ τοῦ καταστάντος θεοῦ καὶ ἀνθρώπων παρεσχέθη μεσίτου, οὔτε τὸν μεσίτην εὑρεῖν καὶ λαβεῖν καὶ τῶν ἐκείνου τυχεῖν ἄλλο τι δίδωσιν ἡμῖν τῶν ἁπάντων ἢ τὰ μυστήρια· ταῦτα γὰρ συγγενεῖς ἡμᾶς ποιεῖ τῶν αἱμάτων ἐκείνων, καὶ ὧν εἵληφε διὰ τὴν σάρκα χαρίτων καὶ ὧν
33 παθεῖν ἠνέσχετο κοινωνούς. Ἐπεὶ γὰρ δυοῖν ὄντοιν, ἃ τῷ θεῷ συνίστησι καὶ ἐν οἷς πᾶσα τῶν ἀνθρώπων ἡ σωτηρία, τοῦ τε τὰ ἱερώτατα μυστήρια μυηθῆναι, καὶ τοῦ πρὸς ἀρετὴν ἀσκῆσαι τὴν γνώμην, τοῦ δευτέρου, λέγω δὴ τῆς ἀνθρωπείας σπουδῆς, οὐδὲν ἄλλο γένοιτ' ἂν ἔργον ἢ τὰ δοθέντα σῶσαι καὶ μὴ προδοῦναι τὸν θησαυρόν· λείπεται δὴ μόνην χορηγὸν ἡμῖν τῶν ἀγαθῶν ἁπάντων τὴν τῶν μυστηρίων δύ-
34 ναμιν εἶναι. Καὶ μὴν τῶν τελετῶν ἄλλης μὲν ἔργον ἄλλο τι, πνεύματος δὲ καὶ τῶν ἐκείνου μετειληφέναι δώρων τοῦ παναγοῦς ἐξήρτηται μύρου· διὰ ταῦτα κἂν μὴ παρ'

---

31. ἐπαγγέλλεται A. ἐπαγγέληται. Idem mox φέρηται.

31. Χριστιανικῶν C. Χριστιανῶν. — οὐ γὰρ κενόν. 1 Cor. 15, 14. εὑρεῖν ἔστιν. C. om. ἔστιν.

33. δυοῖν ὄντοιν. De duplici hoc, quod statuit scriptor, christianae salutis principio conf. Prolegomena.

αὐτὸν τὸν τῆς τελετῆς χρόνον, ὕστερον δὲ πολλῷ πνευματικὴν δυνηθῇ τις ἐπιδείξασθαι δωρεὰν, οὐ δεῖ τὴν αἰτίαν καὶ ὅθεν ἡ δύναμις ἀγνοεῖν. Ἐπεὶ καὶ ὁ τοῦ βαπτίσματος φωτισμὸς ἐνίεται μὲν εὐθὺς λουσαμένων ταῖς τῶν τελουμένων ψυχαῖς, ἐστὶ δὲ τηνικαῦτα δῆλος οὐ πᾶσιν, ἐνίοις δὲ τῶν σπουδαίων διὰ χρόνου φαίνεται ἱδρῶσι πολλοῖς καὶ πόνοις καὶ τῇ περὶ τὸν Χριστὸν ἀγάπῃ τὸν τῆς ψυχῆς καθάρασιν ὀφθαλμὸν, διὰ τοῦτο τὸ μύρον προσευχῆς μὲν οἷκοι πρὸς τὰς εὐχὰς ἡμῖν βοηθοῦσι. Χριόμενοι γὰρ τῷ μύρῳ τοῦτ' αὐτὸ γίνονται ἡμῖν ὃ καλοῦνται, διότι τὸ κενωθὲν μύρον παράκλητος ἡμῖν ἐστι πρὸς τὸν θεὸν καὶ πατέρα δι' αὐτὸ τοῦτο, ὅτι κεκένωται καὶ χρίσμα γέγονε καὶ μέχρι τῆς φύσεως ἐχέθη τῆς ἡμετέρας. Τὰ θυσιαστήρια δὲ τὴν τοῦ σωτῆρος μιμεῖται χεῖρα, καὶ τὸν ἄρτον ἀπὸ τῆς ἀληλιμμένης τραπέζης ὥσπερ ἀπὸ τῆς ἀκηράτου χειρὸς ἐκείνης Χριστοῦ κομιζόμεθα σῶμα, καὶ πίνομεν τοῦ αἵματος αὐτοῦ, καθάπερ οἷς πρώτοις ὁ δεσπότης τῆς ἱερᾶς ἐκοινώνησε τραπέζης, τὴν φρίκης γέμουσαν φιλοτησίαν προπίνων. Ἐπεὶ γὰρ ὁ αὐτὸς καὶ ἱερεύς ἐστι καὶ θυσιαστήριον, καὶ θυσία καὶ προσάγων, καὶ δι' οὗ προσάγει καὶ ὃ προσάγει, τοῖς μυστηρίοις διεῖλεν, ἐκεῖνο μὲν τῷ τῆς εὐλογίας ἀρτῷ, ταῦτα δὲ τῷ μύρῳ διδούς. Καὶ γὰρ θυσιαστήριον μέν ἐστιν ὁ σωτὴρ καὶ θύων διὰ τὸ χρίσμα· τό τε γὰρ θυσιαστήριον ἄνωθεν οὕτω καθίστατο χριόμενον, τοῖς τε ἱερεῦσι τοῦτο ἦν ἱερεῦσιν εἶναι τὸ Χριστοῖς εἶναι, θυσία δὲ διὰ τὸν σταυρὸν καὶ τὸν θάνατον, ἀφ' ὧν ὑπὲρ τῆς τοῦ θεοῦ καὶ πατρὸς ἀπέθανε δόξης· τὸν θάνατον δὲ καταγγέλλομεν καὶ τὴν σφαγὴν, ὁσάκις φησὶ τὸν ἄρτον τοῦτον ἐσθίομεν.

---

35. *διὰ χρ. φαίνεται.* **A.** *φαίνηται.*

35. *διὰ τοῦτο τὸ μ.* **B. om. verba sequentia** *προσευχῆς* —— **usque ad** *κενωθὲν μύρον.*

38. *καὶ θυσία.* **B. om.** *καὶ προσάγων.* — *τὸ Χριστοῖς εἶναι.* **C.** *Χριστούς.*

39 Ἔτι δὲ μύρον μέν ἐστιν ὁ Χριστὸς καὶ χρίσμα διὰ τὸ πνεῦμα τὸ ἅγιον, δι' ὃ δρᾶσαι μὲν τὰ ἱερώτατα πάντων καὶ ἁγιάσαι, ἁγιασθῆναι δὲ καὶ ὁτιοῦν παθεῖν οὐδὲν εἶχε. Ταῦτα δὲ θυσιαστηρίου τε ἦν καὶ θύοντος καὶ προσάγοντος, οὐ προσαγομένου καὶ θυομένου· καὶ γὰρ καὶ τὸ θυσιαστήριον ἁγιάζειν λέγεται, — „τὸ θυσιαστήριον γάρ φησι τὸ ἁγίαζον τὸ δῶρον," — ἄρτος δὲ τῆς σαρκὸς ἕνεκα τῆς ἁγιασθείσης καὶ θεωθείσης καὶ ἄμφω ταῦτα,
40 τό τε χρίσμα δεξαμένης καὶ τὴν πληγήν. „Ὁ γὰρ ἄρτος φησὶν, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω," δηλονότι θύων ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Διὰ ταῦτα προσάγεται μὲν ὡς ἄρτος, προσάγει δὲ ὡς μύρον, καὶ ἑαυτὸν τὴν σάρκα θεώσας καὶ ἡμᾶς λαμβάνων τοῦ χρίσματος κοινωνοὺς, ὧν Ἰακὼβ ὑποφαίνων τὸν τύπον ἐλαίῳ λίθον ἀλείψας ἀνέθηκε τῷ θεῷ, τούτῳ δὴ τῷ χρῖσαι προσαγαγών· εἴτε τὴν σάρκα τοῦ σωτῆρος τὸν ἀκρογωνιαῖον αἰνιττόμενος λίθον, ἢ τὸ τῆς θεότητος ἐπέχεε μύρον ὁ ἀληθινὸς Ἰσραὴλ, ὁ νοῦς ὁ μόνος εἰδὼς τὸν πατέρα, εἴτε ἡμᾶς, οὓς ἐκ τῶν λίθων αὐτὸς ἐγείρει τέκνα τῷ Ἀβραὰμ
41 τῷ μεταδοῦναι τοῦ χρίσματος. Τὸ γὰρ πνεῦμα τὸ ἅγιον ἐπιχεόμενον χριομένοις τά τε ἄλλα ἡμῖν καὶ πνεῦμα υἱοθεσίας ἐστὶ καὶ „μαρτυρεῖ φησι τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν κράζον Ἀββᾶ ὁ πατήρ." Τοιαῦτα βοηθεῖ τὸ θειότατον μύρον τοῖς ζῆν ἐν Χριστῷ βουλομένοις.

---

39. ὁ Χριστὸς κ χρ. C. κύριος. — οὐ προσαγομένου. C. καί. — θεωθείσης. C. θεωρείσης.

40. Ὁ γάρ ἄρτος. Joh. 6, 33. 35. — λίθον ἀλείψας. Genes. 28, 19. — ὁ νοῦς ὁ μόνος. A. om. ὁ.

41. Rom. 8, 15.

ἐπιδεικνύμενοι τοσοῦτον ἀπεῖχον ἀμέλει, θεῖως καθάπαξ καὶ πνευματικῶς ἔχειν, ὥστε μὴ πόρρω βασκανίας καὶ φιλοτιμίας ἀκαίρου καὶ ἔριδος καὶ τῶν τοιούτων ἑστάναι κακῶν. Καὶ ταῦτα αὐτοῖς προφέρων ὁ Παῦλος „σαρκικοί φησίν ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε·“ καίτοι πνευματικοὶ ἦσαν τό γε τῶν χαρίτων μέρος, ἀλλ' οὐδὲν ἤρκεσεν αὐτοῖς πρὸς τὸ πᾶν φαῦλον ἀπὸ τῆς ψυχῆς ἐκβαλεῖν. Ἐπὶ δὲ τῆς εὐχαριστίας τούτων οὐδέν· οἷς γὰρ ὁ τῆς ζωῆς 8
ἄρτος ἐνεργὸς ἐγένετο, δι' ὧν ἐφυλάξαντο τὸν θάνατον, καὶ οὔτε δειπνοῦντες πονηρὸν οὐδὲν εἶχον οὔτ' ἐπεισήγαγον, οὐκ ἄν τις οὐδὲν ἐγκαλέσαι τοιοῦτον. Οὐ γὰρ ἔστιν οὐκ ἔστι, τὴν τελετὴν ἐνεργὸν παντάπασιν εἶναι καὶ τοῖς μεμυημένοις ἡστινοσοῦν μετεῖναι φαυλότητος· διὰ τί; ὅτι τοῦτό ἐστι τὴν τελετὴν ἐνεργὸν εἶναι, τὸ τοὺς τελουμένους οὐδενὸς τῶν γιγνομένων ἐλλείπειν. Ἡ γὰρ τῆς τραπέ- 9
ζης ἐπαγγελία τῷ Χριστῷ μὲν ἡμᾶς, ἡμῖν δὲ τὸν Χριστὸν ἐνοικίζει. „Ἐν ἐμοὶ γάρ φησι μένει κἀγὼ ἐν αὐτῷ·“ τοῦ Χριστοῦ δὲ ἐν ἡμῖν μένοντος τίνος ἔτι δεήσει, τί δ' ἂν τῶν ἀγαθῶν διαφύγοι; Ἐν τῷ Χριστῷ δὲ μένοντες τίνος ἐπιθυμήσομεν ἄλλου; καὶ ἔμοικός ἐστιν ἡμῖν καὶ οἰκία, ὡς μακάριοι μὲν τῆς οἰκίας, μακάριοι δὲ ὅτι τοιούτῳ γεγόναμεν οἰκία. Τί γὰρ τῶν ἀγαθῶν 10
οὐ πάρεστι τοῖς οὕτω διατεθεῖσι; τί κοινὸν καὶ φαυλότητι τοῖς ἐνταῦθα γενομένοις λαμπρότητος; τί ποτ' ἂν σταίη πονηρὸν πρὸς τοσοῦτον σωρὸν ἀγαθῶν; τί μὲν παρὸν δύναιτ' ἂν μένειν, τί δὲ ἀπὸν ἰσχύσαι προσαγαγεῖν, ὅταν ὁ Χριστὸς οὕτως ἀκριβῶς ἡμῖν συνῇ καὶ δι' ὅλων ἡμῶν χωρῇ καὶ τάνδον πάντα κατέχων καὶ περὶ ἡμᾶς ᾖ; Τὰ μὲν γὰρ ἔξωθεν ἐπιόντα βέλη κωλύει ψαύειν ἡμῶν παντα-

---

7. **B. h. Scholion rubro colore scriptum:** *Ὅτι τὸ πλήρωμα καὶ ἡ τελείωσις τῆς ἐν Χριστῷ ζωῆς ἀπὸ τῆς ἱερᾶς κοινωνίας.* — **Conf. 1 Cor. 3, 3.**

8. *Οὐ γὰρ ἔστιν οὐκ ἔστι.* **Vide supra lib. III, §. 32.** — *τελουμένους.* **C.** *τετελεσμένους.*

9. **Joh. 6, 56.**

κείαν μετατίθησιν ἔξιν, καὶ ὁ πηλὸς οὐκέτι πηλὸς τὸ βασιλικὸν δεχόμενος εἶδος, ἀλλ' αὐτὸς ἤδη σῶμα τοῦ βασι-
4 λέως, τούτου μακαριώτερον οὐδὲ ἔστιν ἐνθυμηθῆναι. Διὰ τοῦτο καὶ τελευταῖον τὸ μυστήριον, ὅτι περαιτέρω προελθεῖν οὐκ ἔστιν οὐδὲ προσθεῖναι· τὸ μὲν γὰρ πρῶτον δῆλόν ἐστι τοῦ μέσου δεόμενον καὶ τοῦτο τοῦ τελευταίου. Μετὰ δὲ τὴν εὐχαριστίαν οὐκ ἔστιν ἐφ' ὃ χωροῦμεν, ἀλλ' ἐνταῦθα δεῖ στάντας ἐκεῖνα πειρᾶσθαι σκοπεῖν, δι' ὧν ἂν γένοιτο σῶσαι διὰ τέλους τὸν θησαυρόν.
5 Καὶ τοίνυν βαπτισαμένους τὸ μυστήριον μὲν τὰ αὐτοῦ ἡμᾶς εἰργάσατο πάντα· ἡμεῖς δὲ τελείως ἔτι δέομεν ἔχειν. Οὕπω γὰρ τὸ δῶρα τοῦ ἁγίου πνεύματος, ἃ τοῦ παναγοῦς ἐξήρτηται μύθου. Τοῖς γὰρ ὑπὸ τοῦ Φιλίππου βαπτισαμένοις οὐ πρόσθεν οὐδέπω τὸ πνεῦμα τὸ ἅγιον τῶν χαρίτων ἔνεκα τούτων, ἀλλ' ἐδέησεν ὑπὲρ τούτου τῶν Ἰωάννου καὶ Πέτρου χειρῶν· „οὔπω γὰρ ἦν φησιν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ἦσαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς καὶ ἐλάμβανον πνεῦμα ἅγιον.“ Καὶ τούτου δὲ τυγχάνοντες καὶ τῆς τελετῆς τὴν ἑαυτῆς δύναμιν ἐν ἡμῖν ἐπιδεικνυμένης τὴν μὲν δοθεῖσαν ἔχομεν χάριν, τἆλλα δὲ οὐ πάνυ συμβαίνειν ἀνάγκη τῷ εὐεργέτῃ, ἀλλ' ἀδύνατον οὐδέν· ἔστιν ὧν καὶ δίκας ὀφείλειν, καὶ οὐδὲν κωλύει τό τε μυστήριον τελεσθῆναι καὶ τὰ δοθέντα μὴ διαφθεῖραι καὶ τῶν δεόντων ἐλλειπεῖς εἶναι.
7 Τούτων πολλοὶ μάρτυρες καὶ Κορινθίοις δὲ ἐπὶ τῶν ἀποστόλων συνέβη· τῶν γὰρ τοῦ πνεύματος γέμοντες καὶ προφητεύοντες καὶ γλώσσαις λαλοῦντες καὶ τἆλλα

---

5. δῶρα — πνεύματος. Fort. add. ἔχομεν. — οὔπω γάρ. Act. 8, 16. 17.

6. τῷ εὐεργέτῃ: „cetera tamen, quae ad virtutem pertinent, non necessarium est, piis ac benefacientibus aeque succedere.“ — ἀδύνατον οὐδέν· ἔστιν. C. comma posuit post ἔστιν. — μὴ διαφθεῖραι. Vs. delevit. μή: *et data nos corrumpere et officii numeros non explere.*

ἐπιδεικνύμενοι τοσοῦτον ἀπεῖχον ἀμέλει, θεῖος καθάπαξ καὶ πνευματικῶς ἔχειν, ὥστε μὴ πόρρω βασκανίας καὶ φιλοτιμίας ἀκαίρου καὶ ἔριδος καὶ τῶν τοιούτων ἑστάναι κακῶν. Καὶ ταῦτα αὐτοῖς προφέρων ὁ Παῦλος „σαρκικοί φησίν ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε·“ καίτοι πνευματικοὶ ἦσαν τό γε τῶν χαρίτων μέρος, ἀλλ' οὐδὲν ἤρκεσεν αὐτοῖς πρὸς τὸ πᾶν φαῦλον ἀπὸ τῆς ψυχῆς ἐκβαλεῖν. Ἐπὶ δὲ τῆς εὐχαριστίας τούτων οὐδέν· οἷς γὰρ ὁ τῆς ζωῆς 8
ἄρτος ἐνεργὸς ἐγένετο, δι' ὧν ἐφυλάξαντο τὸν θάνατον, καὶ οὔτε δειπνοῦντες πονηρὸν οὐδὲν εἶχον οὔτ' ἐπεισήγαγον, οὐκ ἄν τις οὐδὲν ἐγκαλέσαι τοιοῦτον. Οὐ γὰρ ἔστιν οὐκ ἔστι, τὴν τελετὴν ἐνεργὸν παντάπασιν εἶναι καὶ τοῖς μεμυημένοις ἡστινοσοῦν μετεῖναι φαυλότητος· διὰ τί; ὅτι τοῦτό ἐστι τὴν τελετὴν ἐνεργὸν εἶναι, τὸ τοὺς τελουμένους οὐδενὸς τῶν γιγνομένων ἐλλείπειν. Ἡ γὰρ τῆς τραπέ- 9
ζης ἐπαγγελία τῷ Χριστῷ μὲν ἡμᾶς, ἡμῖν δὲ τὸν Χριστὸν ἐνοικίζει. „Ἐν ἐμοὶ γάρ φησι μένει κἀγὼ ἐν αὐτῷ·“ τοῦ Χριστοῦ δὲ ἐν ἡμῖν μένοντος τίνος ἔτι δεήσει, τί δ' ἂν τῶν ἀγαθῶν διαφύγοι; Ἐν τῷ Χριστῷ δὲ μένοντες τίνος ἐπιθυμήσομεν ἄλλου; καὶ ἔμοικός ἐστιν ἡμῖν καὶ οἰκία, ὡς μακάριοι μὲν τῆς οἰκίας, μακάριοι δὲ ὅτι τοιούτῳ γεγόναμεν οἰκία. Τί γὰρ τῶν ἀγαθῶν 10
οὐ πάρεστι τοῖς οὕτω διατεθεῖσι; τί κοινὸν καὶ φαυλότητι τοῖς ἐνταῦθα γενομένοις λαμπρότητος; τί ποτ' ἂν ὄναιτο πονηρὸν πρὸς τοσοῦτον σωρὸν ἀγαθῶν; τί μὲν παρὸν δύναιτ' ἂν μένειν, τί δὲ ἀπὸν ἰσχύσαι προσαγαγεῖν, ὅταν ὁ Χριστὸς οὕτως ἀκριβῶς ἡμῖν συνῇ καὶ δι' ὅλων ἡμῶν χωρῇ καὶ τάνδον πάντα κατέχων καὶ περὶ ἡμᾶς ᾖ; Τὰ μὲν γὰρ ἔξωθεν ἐπιόντα βέλη κωλύει ψαύειν ἡμῶν παντε-

---

7. **B. h. Scholion rubro colore scriptum:** *Ὅτι τὸ πλήρωμα καὶ ἡ τελείωσις τῆς ἐν Χριστῷ ζωῆς ἀπὸ τῆς ἱερᾶς κοινωνίας.* — **Conf. 1 Cor. 3, 3.**

8. *Οὐ γὰρ ἔστιν οὐκ ἔστι.* **Vide supra lib. III, §. 32.** — *τελουμένους.* **C.** *τετελεσμένους.*

9. **Joh. 6, 56.**

χόθεν προβεβλημένος, οἰκία γάρ ἐστιν· εἴτι δ' ἐστὶν (ἔνδον) φαῦλον, διωθούμενος ἀπελαύνει, ἔνοικος γάρ ἐστι πᾶσαν ἑαυτοῦ πληρῶν τὴν οἰκίαν. Οὐ γάρ τι τῶν αὐτοῦ ἀλλ' αὐτὸν μετέχομεν, οὐδὲ ἀκτῖνά τινα καὶ φῶς ἀλλὰ τὸν δίσκον αὐτὸν ταῖς ψυχαῖς δεχόμεθα, ὥστε καὶ οἰκῆσαι
12 καὶ εἰσοικίσασθαι καὶ ἓν πνεῦμα γενέσθαι. Καὶ γὰρ ψυχὴ καὶ σῶμα καὶ πᾶσαι δυνάμεις αὐτίκα πνευματικά, ὅτι ψυχὴ μὲν ψυχῇ, σῶμα δὲ σώματι καὶ αἷμα αἵματι μίγνυται· καὶ τί τὸ ἐντεῦθεν; τὰ βελτίω κρείττω τῶν ἐλαττόνων καὶ τὰ θεῖα τῶν ἀνθρωπίνων ἐπικρατεῖ· καὶ ὅ φησι περὶ τῆς ἀναστάσεως Παῦλος, „τὸ θνητὸν ὑπὸ τῆς ζωῆς καταπίνεται," τὸ δὲ ἑξῆς· „ζῶ δὲ οὐκέτι ἐγώ φησι,
13 ζῇ δὲ ἐν ἐμοὶ Χριστός." Ὦ τοῦ μεγέθους τῶν μυστηρίων! Οἷον γάρ ἐστι τὸν τοῦ Χριστοῦ νοῦν τῷ ἡμετέρῳ συμμίξαι νῷ, καὶ θελήσει θέλησιν ἐκείνην καὶ σῶμα σώματι καὶ αἷμα αἵματι κερασθῆναι· οἷος μὲν ὁ νοῦς ἡμῖν τοῦ θείου κατακρατήσαντος νοῦ, οἷα δὲ ἡ θέλησις τῆς μακαρίας θελήσεως περιγενομένης, οἷος δὲ χοῦς τοῦ πυρὸς ὑπερνενι-
14 κηκότος ἐκείνου! Καὶ μὴν ὅτι ταῦτα οὕτω συμβαίνει δείκνυσι Παῦλος, οὔτε νοῦν αὐτὸς ἔχειν τὸν ἑαυτοῦ οὔτε θέλησιν φάσκων οὔτε ζωὴν, ἀλλὰ πάντα ταῦτα αὐτῷ γενέσθαι Χριστόν· καὶ γὰρ „νοῦν Χριστοῦ ἔχομεν," καὶ „δοκιμὴν ζητεῖτέ φησι τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ," καὶ „δοκῶ πνεῦμα θεοῦ ἔχειν καὶ φιλῶ ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ," ὅθεν δῆλος ἦν τὴν αὐτὴν ἐκείνῳ θέλησιν ἔχων· καὶ πάντα συνελὼν „ζῶ δὲ οὐκέτι ἐγώ φησι, ζῇ δὲ
15 ἐν ἐμοὶ Χριστός." Οὕτω τέλειόν ἐστι μυστήριον τελετῆς

---

11. εἴ τι δ' ἐστὶν (ἔνδον). A. B. om. ἔνδον. — τὸν δίσκον αὐτόν. „Totum solis illius (Christi) splendorem mentibus recipimus." Fortasse etiam scriptor respexit δίσκον ἱερόν, in quo sacrae coenae panis inter missae solemnia apud Graecos reponebatur. Adi Cangium.

12. 2 Cor. 5, 4. Gal. 2, 20.

14. 1 Cor. 2, 16. 2 Cor. 13, 3. Phil. 1, 8. — πάντα συνελών. C. συνελθών.

ἀπάσης διαφερόντως καὶ τῶν ἀγαθῶν ἐπ' αὐτὴν ἄγει τὴν κορυφήν, ἐπεὶ καὶ πάσης ἀνθρωπείας σπουδῆς ἐνταῦθα δὴ τὸ ἔσχατον τέλος. Θεοῦ γὰρ αὐτοῦ τυγχάνομεν ἐν αὐτῷ καὶ θεὸς ἡμῖν ἑνοῦται τὴν ἕνωσιν τὴν τελεωτάτην· τοῦ γὰρ ἓν πνεῦμα μετὰ τοῦ θεοῦ γενέσθαι, τίς ἂν ἀκριβεστέρα γένοιτο συναφή;

Διὰ ταῦτα καὶ τοῖς ἄλλοις μυστηρίοις τὸ τελείοις 16
εἶναι παρέχεται μόνη τελετῶν ἡ εὐχαριστία· καὶ βοηθεῖ μὲν αὐτοῖς παρ' αὐτὸ τὸ τελεῖσθαι τελέσαι μὴ δυναμένοις χωρὶς αὐτῆς, βοηθεῖ δὲ μετὰ τὴν τελείωσιν ἐν τοῖς τελεσθεῖσιν, ἐπειδὰν ἁμαρτιῶν σκότει τὴν ἀπὸ τῶν μυστηρίων ἀκτῖνα συγχεθεῖσαν ἀνακαλεῖσθαι δεήσῃ. Τὸ γὰρ ἐκλεί- 17
ποντας καὶ νεκρουμένους ἁμαρτίαις αὖθις ἀναβιώσκεσθαι, μόνης τῆς τραπέζης ἔργον τῆς ἱερᾶς. Οὐ γὰρ ἔστιν ἀνθρωπείᾳ δυνάμει τὸν ἄνθρωπον ἀναστῆναι πεσόντα, οὐδὲ κακίαν ἀνθρώπων ἀνθρωπείᾳ λυθῆναι δικαιοσύνῃ· τὸ γὰρ ἁμαρτάνειν εἰς αὐτὸν τὸν θεὸν φέρει τὴν ὕβριν· „διὰ τῆς παραβάσεως γάρ φησι τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις,“ καὶ δεῖ μείζονος ἢ κατὰ ἄνθρωπον ἀρετῆς, ἢ τὸ ἔγκλημα δυνήσεται λῦσαι. Τὸν γὰρ ἐλάχιστον εἰς τὸν μέγιστον 18
ὑβρίσαι μὲν μάλιστα καὶ διαφερόντως εὐχερὲς, ἀντισηκῶσαι δὲ τιμῇ τὴν ὕβριν ἀμήχανον, καὶ μάλιστ' ὅταν ἐκεῖνος πολλῶν μὲν ὀφειλέτην ἔχῃ τὸν ὑβρικότα, τοσοῦτον δὲ ὑπερέχῃ, ὡς μηδὲ μέτρον εἶναι τοῦ μέσου. Καὶ γὰρ ἀνάγκη, τὸ ἔγκλημα λύοντα καὶ τὴν ἀπενεχθεῖσαν τιμὴν ἀποκαταστῆσαι τῷ πεπαρωνημένῳ ζητοῦντα πλείω τῶν ὀφειλομένων εἰσενεγκεῖν, τὰ μὲν ἀποδιδόντα, τὰ δ' ἐξ ἀντιῤῥόπου περὶ ὧν

---

16. Schol. B. *Ὅτι καὶ τὰ ἄλλα τελείοι μυστήρια ἡ θεία εὐχαριστία, καὶ τὸ δι' αὐτῆς ἡ ἄφεσις τῶν μετὰ τὸ βάπτισμα ἁμαρτιῶν. — χωρὶς αὐτῆς.* B. *ταύτης χωρίς.*

17. Rom. 2, 23.

18. Schol. B. *Τίς ἡ αἰτία, δι' ἣν οὐκ ἀρκεῖ πρὸς ἄφεσιν ἁμαρτιῶν ἡ ἀνθρωπίνη δικαιοσύνη; — πεπαρωνημένῳ.* B. *παρωνημένῳ. — ᾧ δὲ οὐκ ἔστιν.* C. *ἔξεστιν.*

ἠδίκησε προστιθέντα· ᾧ δὲ οὐκ ἔστιν οὐδ' ἐγγὺς ἐφικέσθαι τῶν γινομένων, τίς ἂν γένοιτο τὰ μείζω διώκων!
19 Διὰ ταῦτα οὐκ ἦν οὐδένα ἀνθρώπων ἑαυτῷ τὸν θεὸν καταλλάξαι τὴν ἑαυτοῦ δικαιοσύνην εἰσενεγκόντα, ὅθεν οὔτε ὁ παλαιὸς νόμος ἐδυνήθη λῦσαι τὴν ἔχθραν, οὔτε τοῖς ἐν χάριτι ζῶσι πρὸς τὴν εἰρήνην ταύτην ἀρκέσειεν ἂν ἡ σπουδή· καὶ γὰρ τοῦτο κἀκεῖνο δυνάμεως ἀνθρώπων ἔργα
20 καὶ ἀνθρωπεία δικαιοσύνη. Καὶ γὰρ καὶ τὸν νόμιον αὐτὸν ἀνθρώπων δικαιοσύνην ὁ μακάριος καλεῖ Παῦλος· „οὐ γὰρ ὑπετάγησάν φησι τῇ δικαιοσύνῃ τοῦ θεοῦ τὴν ἰδίαν δικαιοσύνην στῆσαι ζητοῦντες," τὸν νόμιον λέγων τὸν παλαιόν· τοσοῦτον γὰρ ἐδυνήθη μόνον κατὰ τῶν ἡμετέρων κακῶν, ὅσον παρασκευάσαι πρὸς τὴν ὑγείαν καὶ ἀξίους ποιῆσαι τῆς τοῦ ἰατροῦ χειρός. „Ὁ γὰρ νόμος παιδαγωγὸς ἡμῶν γέγονέ φησιν εἰς Χριστὸν Ἰησοῦν," καὶ ὁ μακάριος Ἰωάννης εἰς τὸν ἐρχόμενον ἐβάπτιζε, καὶ πᾶσα φιλοσοφία ἀνθρώπων καὶ πόνος ἅπας πρὸς τὴν ἀληθῆ δικαιοσύνην προτέλειαί τινές
21 εἰσι καὶ παρασκευαί. Ταῦτ' ἄρα καὶ ὡς ἂν οἰκοθεν καὶ παρ' ἡμῶν αὐτῶν ἐπιδείξασθαι μὴ δυναμένοις δικαιοσύνην αὐτὸς ἡμῖν ὁ Χριστὸς ἐγένετο δικαιοσύνη ἀπὸ θεοῦ καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, καὶ λύει τὴν ἔχθραν ἐν τῇ σαρκὶ καὶ τὸν θεὸν ἡμῖν καταλλάττει, οὐ τῇ φύσει κοινῶς οὐδ' ὅτε ἐπέθνησκε μόνον, ἀλλ' ἑκάστοτε καὶ ἑκάστῳ τῶν ἀνθρώπων, ὥσπερ σταυρούμενος τότε, νῦν εὐωχῶν, ἐπειδὰν μεταγνόντες περὶ ὧν ἡμάρτο-

---

20. οὐ γὰρ ὑπετάγησαν. Rom. 10, 3. Gal. 3, 24. Act. 19, 4.

21. Schol. B. Τίς ἡ αἰτία, δι' ἣν ἁμαρτίας δύναται λύειν (fort. leg. λῦσαι) ἡ θεία εὐχαριστία ἔχθραν; 1 Cor. 1, 30. Eph. 2, 14. 16. — νῦν εὐωχῶν. Coenam sacram εὐωχίαν vocant tanquam convivium et epulum mysticum Dionys. epist. IX, p. 149 tom. II, Chrysost. hom. LXXXV, tom. V, p. 589. ed. Fr. Duc., Theodor. in Ps. XXI, p. 744. ed. Schulze (μυστικὴ καὶ ἀθάνατος εὐωχία, ἣν οἱ μεμυημένοι γινώσκουσι).

μεν παραιτώμεθα. Μόνος γὰρ ἐδυνήθη καὶ τὴν ὀφειλομέ- 22
νην ἅπασαν ἀποδοῦναι τιμὴν τῷ γεγεννηκότι καὶ περὶ τῆς
ἀπενεχθείσης ἀπολογήσασθαι, τὸ μὲν τῷ βίῳ, τὸ δὲ τῇ
τελευτῇ. Τὸν γὰρ θάνατον, ὃν ὑπὲρ τῆς δόξης τοῦ πατρὸς
ἀπέθανεν ἐπὶ τοῦ σταυροῦ, τῆς παρ' ἡμῶν ὕβρεως ἀντίρ-
ροπον εἰσενεγκὼν μετὰ μείζονος τῆς παρασκευῆς, ἣν ἡμεῖς
ὀφειλόμεθα τιμὴν δι' ὧν ἐξημιάρτομεν, ἀνακαλεῖται πολλῷ
τῷ ὄντι· τῷ δὲ βίῳ πᾶσαν ἀπέδωκε τιμήν, καὶ ἦν εἰκὸς
ἦν τιμῆσαι μὲν ἐκεῖνον, τιμηθῆναι δὲ τὸν πατέρα. Ἄνευ 23
γὰρ ὧν ἐπεδείξατο πολλῶν καὶ μεγάλων ἔργων, ἃ τῷ πα-
τρὶ τὴν μεγίστην εἶχε τιμήν, τοῦτο μὲν ἁμαρτίας ἁπάσης
καθαρὸν παρασχόμενος τὸν βίον, τοῦτο δὲ δι' ὧν ἀκριβέ-
στατα καὶ τελεώτατα τοὺς ἐκεῖθεν ἔσωσε νόμους, οὐχ οἷς
αὐτὸς εἰργάσατο μόνον, — „καὶ γὰρ τὰς ἐντολὰς τοῦ
πατρός μου φησὶ τετήρηκα," — ἀλλὰ καὶ οἷς τῷ βίῳ τῶν
ἀνθρώπων ἐνομοθέτει, μόνος τὴν οὐράνιον τῇ γῇ προδεί-
ξας καὶ φυτεύσας φιλοσοφίαν, ἔτι δὲ αὐτῶν τῶν θαυμά-
των, ὧν αἴτιον ἐκήρυττε τὸν γεγεννηκότα.

Παρὰ πάντα δὴ ταῦτα τίς οὐκ οἶδεν, ὡς αὐτὸ τοῦτο 24
μόνον τὸ μετὰ ἀνθρώπων γενέσθαι καὶ οὕτως ἀκριβῶς
σαρκὶ συναφθῆναι, τὴν τοῦ πέμψαντος χρηστότητα καὶ
φιλανθρωπίαν ἀκριβεστάτα καὶ φανερώτατα διαδείκνυσι τὴν
περὶ αὐτοῦ προσήκουσαν ἐνέθηκε δόξαν! Εἰ γὰρ τῷ εὖ 25
ποιεῖν τὴν χρηστότητα δεῖ μετρεῖν, οὕτω δὲ τὸ γένος ἐπὶ
τῆς οἰκονομίας εὖ πεποίηκεν ὁ θεός, ὡς μηδενὸς φείσασθαι
τῶν εἰς τοῦτο φερόντων, ἀλλὰ πάντα τὸν πλοῦτον ἐνθεῖναι
τῇ φύσει τὸν ἑαυτοῦ, — καὶ γὰρ „ἐν αὐτῷ κατοικεῖ φησι
πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς" — πρόδηλον
ὅτι τὸν ἔσχατον τῆς θείας φιλανθρωπίας ὅρον ἐπὶ τοῦ σω-
τῆρος ἔγνωμεν, καὶ δι' ὧν εἰργάσατο μόνος ἐδίδαξεν ἀν-

---

22. *τὴν ὀφειλομένην.* In cod. B. desunt proxima: *ἀποδοῦναι — ἀπενεχθείσης.*
23. *τετήρηκα.* Joh. 15, 10.
24. *προσήκουσαν.* C. add. *ἅπασιν.*
25. *ἐν αὐτῷ κατοικεῖ.* Col. 2, 19. — *οὕτω φησὶν ὁ θ.* Joh. 3, 16.

τὸν ἥλιον ἔσβεσε καὶ τὴν γῆν ἔσεισε καὶ τὸν ἀέρα ἠγίασε καὶ πάντα τὸν κόσμον ἀπέκλυσε τοῦ ῥύπου τῆς ἁμαρτίας.
32 Ὅθεν καθάπερ ἐδέησεν ἁπλῶς τῷ γραπτῷ νόμῳ τοῦ πνευματικοῦ νόμου, τῷ ἀτελῶς ἔχοντι τοῦ τελείου, τῷ τέλειον ἀποφῆναι τὸν κατορθοῦντα μὴ δυναμένῳ τοῦ δυναμένου· τὸν ἴσον τρόπον καὶ τῶν μετὰ τὸ λουτρὸν, περὶ ὧν ἐξήμαρτον, εἰς τὴν χάριν παραιτουμένων τοῖς πόνοις καὶ τοῖς δάκρυσι τοῦ αἵματος δεῖ τῆς κοινῆς διαθήκης καὶ τοῦ σφαγέντος σώματος, ὡς οὐδὲν ὄφελος ὂν ἐκείνων τούτων χωρίς.
33 Διονύσιος δὲ ὁ θεῖος καὶ τὰς ἱερὰς αὐτὰς τελετὰς μὴ ἂν τελέσαι φησὶ μηδὲ τὰ αὐτῶν δυνηθῆναι μὴ τοῦ δείκνου προστεθέντος τοῦ ἱεροῦ, σχολῇ γε δὴ πόνον· καὶ δικαιοσύνην ἀνθρώπων ἁμαρτίας δύνασθαι λύειν καὶ τὰ τοιαῦτα περαίνειν ἔχειν εἰκός ἐστιν· ἄλλως τε τῶν ἱερῶν ἓν καὶ τοῦτο μυστηρίων τοὺς περὶ ὧν ἐξήμαρτον μεταγνόντας καὶ προσαγγείλαντας ἑαυτοὺς τοῖς ἱερεῦσι πάσης ἀπολύεσθαι δίκης παρὰ θεῷ δικαστῇ. Οὐκοῦν οὐδὲ τούτου γένοιτ' ἂν τυχεῖν ἐνεργοῦ, μὴ τὸ ἱερὸν δειπνήσαντας
34 δεῖπνον. Διὰ τοῦτο καὶ λούμεθα μὲν ἅπαξ, πρόσιμεν δὲ τῇ τραπέζῃ πολλάκις, ὅτι συμβαίνει μὲν ἑκάστοτε θεῷ προσκρούειν ἀνθρώπους ὄντας, λύειν δὲ τὸ ἔγκλημα πειρωμένοις μετανοίας χρείᾳ καὶ πόνων καὶ τοῦ θριαμβεῦσαι τὴν ἁμαρτίαν· ταῦτα δὲ δράσειεν ἂν καθὰ τῆς ἁμαρτίας, ἣν τὸ μόνον τῶν ἀνθρωπίνων κακῶν φάρ-
35 μακον προστεθῇ. Καθάπερ γὰρ τὴν ἀγριέλαιον ἡ καλλιέλαιος, ἐπειδὰν ἐγκεντρισθῇ, πρὸς ἑαυτὴν καθάπαξ ἀμείβει καὶ ὁ καρπὸς οὐδαμόθεν κοτίνῳ προσήκων· τὸν ἴσον τρόπον καὶ ἡ τῶν ἀνθρώπων δικαιοσύνη αὐτὴ μὲν πρὸς οὐδὲν φέρει δι' ἑαυτὴν, τῷ δὲ Χριστῷ συναφθέντων καὶ σαρκὸς καὶ αἵματος κεκοινωνηκότων, τὰ μέγιστα τῶν ἀγαθῶν εὐθὺς ἐδυνήθη, ἁμαρτιῶν ἄφεσιν καὶ βασιλείας

---

32. της καινης διαθηκης C. κοινης.
33. Conf. Pseudo-Dionysii Opera tom. I, p. 283.
35. καθάπαξ ἀμείβει. B. καθάπερ.

πατέρα," καὶ διὰ τοῦτό φησιν Ἡσαΐας, „καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος."

Οὕτω τοίνυν πρὸς τὴν δόξαν τοῦ πατρὸς οὐδὲν παραλιπὼν ὁ μονογενὴς μόνος καθαιρεῖ τὸ μεσότοιχον τῆς ἔχθρας καὶ λύει τῶν ἐγκλημάτων τὸν ἄνθρωπον. Ἐπεὶ δὲ κατὰ τὴν ἑτέραν τῶν φύσεων, τὴν ἡμετέραν λέγω τὴν ἀνθρωπείαν, ὁ διπλοῦς Ἰησοῦς τὸν πατέρα ἐτίμησε καὶ ἀπὸ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος τὸν θαυμαστὸν ἐκεῖνον στέφανον τῆς δόξης ἔπλεξε τῷ πατρί· διὰ ταῦτα μόνου μέν ἐστι κατὰ τῆς ἁμαρτίας φάρμακον τὸ τοῦ Χριστοῦ σῶμα, μόνη δὲ ἡ λύσις ἁμαρτημάτων τὸ αἷμα. Καὶ γὰρ διὰ τοῦτο συνέστη τὴν ἀρχήν, ἵνα τὸν πατέρα δοξάσῃ, καὶ ὅ φησιν αὐτὸς ὁ σωτήρ, εἰς τοῦτο γεγέννηται καὶ εἰς τοῦτο ἐλήλυθεν εἰς τὸν κόσμον καὶ τὸν ἑξῆς ἅπαντα χρόνον, μόνον μὲν τὸ πρὸς τοῦτο φέρον ἅπαν ἐτέλεσεν ἔργον, μόνον δὲ τὸν ὑπὲρ τούτου διαφερόντως ὑπομεμένηκε πόνον. Καὶ γὰρ τοῦτο τὸ σῶμα τοῦ πληρώματος τῆς θεότητος ἐγένετο θησαυρὸς καὶ πάσης μὲν ἦν ἄγευστον ἁμαρτίας, ἐπλήρωσε δὲ πᾶσαν δικαιοσύνην, ἐκήρυξε δὲ τοῖς ὁμογενέσι ἀγνοούμενον τὸν πατέρα, καὶ οἷς ἔλεγε καὶ οἷς ἐπεδείκνυτο· τοῦτό ἐστι τὸ σφαγὲν ἐπὶ τοῦ σταυροῦ· καὶ ὃ τῇ σφαγῇ προσάγον, ἐδειλία καὶ ἠθωνία καὶ ἱδρῶσι περιερρεῖτο καὶ προὐδόθη καὶ συνελήφθη καὶ κριτῶν ἠνέσχετο παρανόμων καὶ ἐμαρτύρησε μὲν ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, ἣ φησι Παῦλος, ἔδωκε δὲ δίκην τῆς ὁμολογίας θάνατον καὶ τοῦτον ἐπὶ σταυροῦ καὶ μάστιγας μὲν ἐπὶ τῶν μεταφρένων, ἐπὶ δὲ τῶν χειρῶν καὶ τῶν ποδῶν ἥλους, τῇ πλευρᾷ δὲ τὴν λόγχην ἐδέξατο καὶ ἤλγησε μαστιγουμένου καὶ ὠδυνήθη προσηλουμένου, — τοῦτο τὸ αἷμα τῶν πληγῶν ἐκπηδῆσαν 29

29. κατὰ τῆς ἁμαρτίας. A. om. κατά.
30. ὅ φησιν αὐτός. A. ἦ φησιν.
31. προσάγον. sensu intransitivo. Vs. *quae immolationem praecesserunt.*
31. κριτῶν ἠνέσχετο. B. κριτής.

τὸν ἥλιον ἔσβεσε καὶ τὴν γῆν ἔσεισε καὶ τὸν ἀέρα ἠγίασε καὶ πάντα τὸν κόσμον ἀπέκλυσε τοῦ ῥύπου τῆς ἁμαρτίας.

32 Ὅθεν καθάπερ ἐδέησεν ἁπλῶς τῷ γραπτῷ νόμῳ τοῦ πνευματικοῦ νόμου, τῷ ἀτελῶς ἔχοντι τοῦ τελείου, τῷ τέλειον ἀποφῆναι τὸν κατορθοῦντα μὴ δυναμένῳ τοῦ δυναμένου· τὸν ἴσον τρόπον καὶ τῶν μετὰ τὸ λουτρὸν, περὶ ὧν ἐξήμαρτον, εἰς τὴν χάριν παραιτουμένων τοῖς πόνοις καὶ τοῖς δάκρυσι τοῦ αἵματος δεῖ τῆς κοινῆς διαθήκης καὶ τοῦ σφαγέντος σώματος, ὡς οὐδὲν ὄφελος ὂν ἐκείνων τούτων χωρίς.

33 Διονύσιος δὲ ὁ θεῖος καὶ τὰς ἱερὰς αὐτὰς τελετὰς μὴ ἂν τελέσαι φησὶ μηδὲ τὰ αὐτῶν δυνηθῆναι μὴ τοῦ δείπνου προστεθέντος τοῦ ἱεροῦ, σχολῇ γε δὴ πόνον καὶ δικαιοσύνην ἀνθρώπων ἁμαρτίας δύνασθαι λύειν καὶ τὰ τοιαῦτα περαίνειν ἔχειν εἰκός ἐστιν· ἄλλως τε τῶν ἱερῶν ἓν καὶ τοῦτο μυστηρίων τοὺς περὶ ὧν ἐξήμαρτον μεταγνόντας καὶ προσαγγείλαντας ἑαυτοὺς τοῖς ἱερεῦσι πάσης ἀπολύεσθαι δίκης παρὰ θεῷ δικαστῇ. Οὐκοῦν οὐδὲ τούτου γένοιτ' ἂν τυχεῖν ἐνεργοῦ, μὴ τὸ ἱερὸν δειπνήσαντας

34 δεῖπνον. Διὰ τοῦτο καὶ λούμεθα μὲν ἅπαξ, πρόσιμεν δὲ τῇ τραπέζῃ πολλάκις, ὅτι συμβαίνει μὲν ἑκάστοτε θεῷ προσκρούειν ἀνθρώπους ὄντας, λύειν δὲ τὸ ἔγκλημα πειρωμένοις μετανοίας χρείᾳ καὶ πόνων καὶ τοῦ θριαμβεῦσαι τὴν ἁμαρτίαν· ταῦτα δὲ δράσειεν ἂν κατὰ τῆς ἁμαρτίας, ἣν τὸ μόνον τῶν ἀνθρωπίνων κακῶν φάρ-

35 μακον προστεθῇ. Καθάπερ γὰρ τὴν ἀγριέλαιον ἡ καλλιέλαιος, ἐπειδὰν ἐγκεντρισθῇ, πρὸς ἑαυτὴν καθάπαξ ἀμείβει καὶ ὁ καρπὸς οὐδαμόθεν κοτίνῳ προσήκων· τὸν ἴσον τρόπον καὶ ἡ τῶν ἀνθρώπων δικαιοσύνη αὐτὴ μὲν πρὸς οὐδὲν φέρει δι' ἑαυτὴν, τῷ δὲ Χριστῷ συναφθέντων καὶ σαρκὸς καὶ αἵματος κεκοινωνηκότων, τὰ μέγιστα τῶν ἀγαθῶν εὐθὺς ἐδυνήθη, ἁμαρτιῶν ἄφεσιν καὶ βασιλείας

---

32. της καινης διαθηκης C. κοινῆς.
33. Conf. Pseudo-Dionysii Opera tom. I, p. 283.
35. καθάπαξ ἀμείβει. B. καθάπερ.

κληρονομίαν, ἃ τῆς τοῦ Χριστοῦ δικαιοσύνης ἐστὶ καρπός.
Ὥσπερ γὰρ ἀπὸ τῆς ἱερᾶς τραπέζης τὸ σῶμα Χρι- 36
στοῦ κομιζόμεθα σῶμα τῶν κρειττόνων ὑπερνι-
κώντων, οὕτως ἀκόλουθον ἐνταῦθα καὶ τὴν δικαιοσύνην
ἡμῶν χριστοειδῆ γενέσθαι δικαιοσύνην. Τὸ γὰρ „σῶμα
Χριστοῦ ἐσμὲν καὶ μέλη ἐκ μέρους,“ οὐ κατὰ τὸ σῶμα
μόνον νομιστέον εἰρῆσθαι, ἀλλὰ πολλῷ δικαιότερον τῇ ψυχῇ
καὶ τῇ κατ' αὐτὴν ἐνεργείᾳ τὴν κοινωνίαν ἀποδοτέον ἐστίν·
ἐπεὶ καὶ ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι, τοῦτό
ἐστι δεικνύντος, τὴν κοινωνίαν ταύτην καὶ συμφυΐαν ἐπὶ
τοῦ νοῦ μάλιστα συνεστάναι καὶ τῆς ψυχῆς. Διὰ τοῦτο 37
γὰρ οὐ σῶμα περιέβετο μόνον, ἀλλὰ καὶ ψυχὴν ἔλαβε
καὶ νοῦν καὶ θέλησιν καὶ πᾶν ὁτιοῦν ἀνθρώπειον, ἵν'
ὅλοις ἡμῖν ἑνωθῆναι δυνηθῇ καὶ δι' ὅλων ἡμῶν χωρήσῃ
καὶ πρὸς ἑαυτὸν ἡμᾶς ἀναλύσῃ, πᾶσι πάντα συνάψας
τοῖς ἡμετέροις τὰ ἑαυτοῦ, ὅθεν ἁμαρτάνουσιν ἀνάρμοστός
ἐστι καὶ ἀκόλλητος, ὅτι ταύτῃ μόνον κοινὸν ἡμῖν πρὸς
ἐκεῖνον. Τὰ γὰρ ἄλλα πάντα καὶ ἐδέξατο παρ' ἡμῶν 38
φιλανθρώπως καὶ ἡμῖν συνάπτει φιλανθρωπότερον. Το
μὲν γὰρ ἦν τὸν θεὸν εἰς τὴν γῆν κατελθεῖν, τὸ δὲ ἡμᾶς
ἐνθένδε ἀναγαγεῖν· καὶ τὸ μὲν αὐτὸν ἐνανθρωπῆσαι,
τὸ δὲ τὸν ἄνθρωπον θεωθῆναι· καὶ τὸ μὲν τὴν φύσιν
ἁπλῶς τῶν ὀνειδῶν ἀπαλλάττει, ἐφ' ἑνὶ σώματι καὶ μιᾷ
ψυχῇ τὴν ἁμαρτίαν νικήσασαν, τὸ δὲ ἕκαστον τῶν ἀν-
θρώπων ἁμαρτιῶν ἀπολύει καὶ θεῷ συνίστησι, ταῦτα δὲ
ἐκείνων φιλανθρωπότερα. Ἐπεὶ γὰρ οὐκ ἐνῆν ἡμᾶς ἀνελ- 39
θόντας τῶν αὐτοῦ μετασχεῖν, αὐτὸς κατελθὼν εἰς ἡμᾶς
τῶν ἡμετέρων μεταλαμβάνει, καὶ οὕτως ἀκριβῶς οἷς ἔλαβε
συνεφύη, ὥστε δι' ὧν ἡμῖν, ἃ παρ' ἡμῶν ἔλαβεν, ἀποδί-
δωσιν, ἑαυτοῦ μεταδίδωσι, καὶ σαρκὸς καὶ αἵματος μετέ-
χοντες ἀνθρωπείου τὸν θεὸν αὐτὸν ταῖς ψυχαῖς δεχόμεθα,

---

36. *Τὸ γὰρ* s. 1 Cor. 12, 27. B. *τῷ γάρ*. — C. om. verba: *Χριστοῦ ἐσμέν — μόνον.*

37. *κοινὸν ἡμῖν οὐδέν.* C. *οὐδὲν ἡμῖν.*

καὶ σῶμα θεοῦ καὶ αἷμα καὶ ψυχὴν θεοῦ καὶ νοῦν καὶ
40 θέλησιν οὐδὲν ἔλαττον ἢ ἀνθρώπινα. Ἔδει γὰρ καὶ τοῦτο
εἶναι κἀκεῖνο γενέσθαι τὸ τῆς ἐμῆς ἀσθενείας φάρμακον·
εἰ μὲν γὰρ θεὸς ἦν μόνον, οὐκ ἂν οὕτως ἠνώθη, — πῶς
γὰρ ἂν ἡμῖν ἐγένετο δεῖπνον; — εἰ δ' ὅπερ ἡμεῖς μόνον,
οὐκ ἂν οὕτως ἔδρασε. Νῦν δὲ τὸ συναμφότερον· οὕτω
μὲν ὡς ὁμογενέσιν ἑνοῦται καὶ συμφύεται τοῖς ἀνθρώποις,
ἐκείνως δὲ τὴν φύσιν ἆραι δύναται καὶ νικῆσαι καὶ πρὸς
41 ἑαυτὸν μεταστῆσαι. Τῶν γὰρ δυνάμεων τὰς ἐλάττους ἀ-
μείζους ἐπὶ τῶν αὐτῶν μένειν, ἐπειδὰν αὐταῖς συνενεχθῶ-
σιν, οὐ συγχωροῦσι, καὶ σίδηρος οὐδὲν σιδήρου φέρει πυρὶ
συνελθὼν, καὶ γῆ καὶ ὕδωρ τῶν οἰκείων τὰ τοῦ πυρὸς
ἀλλάττονται πυρὸς ἀπολελαυκότα· εἰ δὲ τῶν ὁμογενῶν
δυνάμεων αἱ κρείττους οὕτω δρῶσιν εἰς τὰς ἐλάττους, τί
42 δεῖ περὶ τῆς ὑπερφυοῦς ἐκείνης νομίσαι; Φανερὸν τοίνυν,
ὡς ἐγχεῖται μὲν ἡμῖν ὁ Χριστὸς καὶ ἀναμίγνυσιν ἑαυτὸν,
ἀμείβει δὲ καὶ πρὸς ἑαυτὸν μεταβάλλει καθάπερ ῥανίδα
μικρὰν ὕδατος ἐγχεθεῖσαν ἀπείρῳ μύρου πελάγει· τοσαῦτα
γὰρ δύναται τοῖς ἐμπεσοῦσι τόδε τὸ μύρον, ὥστε οὐκ εὐ-
ώδεις ἀποδείκνυσιν ἁπλῶς οὐδὲ μύρου πνέοντας μόνον,
ἀλλ' εὐωδίαν αὐτὴν τὴν ἔξιν αὐτοῦ τοῦ κενωθέντος δι'
ἡμᾶς μύρου· „Χριστοῦ γάρ φησιν εὐωδία ἐσμέν.“
43 Τοιαύτην ἔχει δύναμιν καὶ χάριν τοῖς τετελεσμένοις
τὸ δεῖπνον, ἐάν γε καθαροὶ προσελθόντες κακίας ἁπάσης
μηδὲν ἐπεισαγάγωμεν ἔπειτα πονηρὸν, οὕτω γὰρ ἔχουσι
καὶ παρεσκευασμένοις οὐδὲν κωλύσει τὸν Χριστὸν οὕτως
ἀκριβῶς ἡμῖν ἑνωθῆναι· „τὸ μυστήριον τοῦτο μέγα ἐστὶ“,
τὴν ἕνωσιν ταύτην ἐξαίρων ὁ μακάριος ἔφη Παῦλος·

---

40. οὕτω μὲν ὡς ὁμογ. C. ὅτῳ.

42. μεταβάλλει καθάπερ. B. C. interponunt καί. — εὐωδία ἐσμέν. 2 Cor. 2, 15.

43. τετελεσμένοις. B. C. τετελεμένοις. Eph. 5, 32. — Schol. B. Ὅτι ὁ μυστικὸς γάμος, καθ' ὃν ὁ Χριστὸς νυμφίος, ἐν τῇ ἱερᾷ συνίσταται κοινωνίᾳ. De sententia vide supra Prolegomena.

τοῦτο γάρ ἐστιν ὁ γάμος ὁ πολυύμνητος, καθ' ὃν ὁ παναγιος νυμφίος τὴν ἐκκλησίαν ὡς παρθένον ἄγεται νύμφην. Καὶ γὰρ ἐνταῦθα μὲν ὁ Χριστὸς ἐκτρέφει 44
τὸν περὶ αὐτὸν χορὸν, τούτῳ δὲ μόνῳ τῶν μυστηρίων σάρκες ἐσμὲν ἐκ τῶν σαρκῶν αὐτοῦ καί ὀστᾶ ἐκ τῶν ὀστῶν αὐτοῦ. Ταῦτα δέ ἐστιν, οἷς ὁ ἀπόστολος ὁριζόμενος τὸν γάμιον, νυμφίον ἀποδείκνυσι τὸν Χριστὸν εἶναι καὶ τὴν νύμφην ἐχεῖν, ὁ νυμφαγωγός φησιν Ἰωάννης. Τοῦτο τὸ μυστήριον φῶς μέν ἐστι τοῖς ἤδη κεκα- 45
θαρμένοις, καθάρσιον δὲ τοῖς ἔτι καθαιρομένοις, ἀλείπτης δὲ κατὰ τοῦ πονηροῦ καὶ τῶν παθῶν ἀγωνιζομένοις· τοῖς μὲν γὰρ οὐδὲν ἄλλο λοιπὸν ἢ καθάπερ ὀφθαλμιῷ τὴν λύμην ἀποθεμένῳ τὸ φῶς τοῦ κόσμου δέξασθαι, τοῖς δὲ δεομένοις ἔτι τοῦ καθᾶραι δυναμένου, καθάρσιον τί γένοιτ' ἂν ἄλλο; Τὸ γὰρ αἷμα τοῦ υἱοῦ τοῦ 46
θεοῦ καθαρίζει ἡμᾶς φησιν ἀπὸ πάσης ἁμαρτίας ὁ διαφερόντως τῷ Χριστῷ φιλούμενος Ἰωάννης· τὴν δὲ κατὰ τοῦ πονηροῦ νίκην τίς οὐκ οἶδεν, ὡς ὁ Χριστὸς ἀνῄρηται μόνος, οὗ μόνου ἔστη τρόπαιον κατὰ τῆς ἁμαρτίας τὸ σῶμα, καὶ τούτῳ δύναται βοηθῆσαι πολεμουμένοις, ἐν ᾧ πέπονθεν αὐτὸς καὶ νενίκηκε πειρασθείς; Ἐπεὶ γὰρ τῇ σαρκὶ 47
πρὸς τὴν πνευματικὴν ζωὴν κοινὸν οὐδὲν ἦν, ἥ γε καὶ λίαν ἀπεχθῶς ἔχει καὶ πολεμίως, — „ἐπεθυμεῖ γάρ φησι κατὰ τοῦ πνεύματος“, — διὰ ταῦτα σὰρξ ἐπενοήθη κατὰ τῆς σαρκὸς, τῆς χοϊκῆς ἡ πνευματικὴ, καὶ λύεται σαρκὸς νόμῳ σαρκικὸς νόμος, καὶ σὰρξ εἴκει πνεύματι καὶ βοηθεῖ κατὰ τοῦ νόμου τῆς ἁμαρτίας. Διὰ ταῦτα γὰρ τὴν πνευματι- 48
κὴν ζῆσαι ζωὴν οὐδενὶ τῶν πάντων ἐξῆν, τῆς μακαρίας

44. *ὁ νυμφαγωγός*. C. pro ὁ h. *ὅν* et A. *οὐ* Conf. Joh. 3, 29. Apoc. 18, 23. 21, 2. — Schol. B. *Ὅτι ἡ ἱερὰ κοινωνία ἑκάστῳ τῶν προσιόντων, οὗ δεῖται πρὸς τὴν σωτηρίαν, παρέχει, καὶ ὅτι ταύτης χωρὶς οὐκ ἦν τὸν τῆς σαρκὸς λυθῆναι νόμον.*

45. *τὴν λύμην*. Fort. leg. *λήμην*.

46. *καθαρίζει*. Joh. 1, 7. — *οὗ μόνου ἔστη*. B. *ἔστι*.

47. *λίαν ἀπεχθῶς*. C. *ἀπεχθρῶς*. — Gal. 5, 17. — *καὶ λύεται — νόμος*. C. *κ. λ. σαρκὸς νόμος* omissis reliquis.

σαρκὸς ταύτης μήπω παγείσης, ὁπότε μηδ' αὐτὸς ὁ νόμος ἐσώζετο, καίτοι μηδὲ σφόδρα φιλοσοφίας ἐπειλημμένος, οὐδ' ἴσχυεν οὐδὲν ἐν ἀνθρώποις, τοῦ καθ' ἡμᾶς πεφυκότι τῇ χείρονι μοίρᾳ βοηθοῦντος. „Ἠσθένει γάρ φησιν ὁ νόμος διὰ τῆς σαρκὸς", καὶ σαρκὸς ἑτέρας ἐδεῖτο σῶσαι δυναμένης αὐτῷ τὴν ἰσχύν· „τὸ γὰρ ἀδύνατόν φησι τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινε τὴν
49 ἁμαρτίαν ἐν τῇ σαρκί." Τούτων ἕνεκα τῆς σαρκὸς ταύτης ἀεὶ δεόμεθα καὶ συνεχοῦς ἀπολαύομεν τῆς τραπέζης, ὡς ἂν ὁ νόμος τοῦ πνεύματος ἐν ἡμῖν ἐνεργὸς ᾖ, καὶ τῇ ζωῇ τῆς σαρκὸς μηδεμία γένηται χώρα μηδὲ λάβῃ καιρὸν εἰς γῆν ἐνεχθῆναι, καθάπερ τὰ βαρέα τῶν σωμάτων διαλιπόν-
50 τος τοῦ ὑπανέχοντος. Ἔστι μὲν γὰρ τὸ μυστήριον τέλειον ἕνεκα πάντων καὶ οὐκ ἔστιν ᾧ δεῖ τοῖς τελουμένοις, ὃ μὴ παρέχει διαφερόντως· ἐπεὶ δὲ ἡ τῆς ὕλης φαυλότης οὐκ ἐᾷ τὴν σφραγῖδα μένειν ἀκίνητον, — ἔχομεν γὰρ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι, — διὰ τοῦτο οὐχ ἅπαξ ἀλλὰ διηνεκοῦς ἀπολαύομεν τοῦ φαρμάκου, καὶ τὸν πλάστην ἀεὶ δέον τῷ πηλῷ παρακαθῆσθαι καὶ συγχεόμενον τὸ εἶδος αὖθις ἀνακαλεῖσθαι, καὶ συνεχοῦς ἡμᾶς ἀπολαύειν τῆς τοῦ ἰατροῦ χειρὸς, χαυνουμένην ἰωμένου τὴν ὕλην καὶ κλινομένην ἐπανορθουμένου τὴν γνώμην,
51 μὴ καὶ λάθῃ θάνατος παρελθών. „Νεκροὺς γὰρ ὄντας φησὶ τοῖς παραπτώμασι" συνεζωοποίησε τῷ Χριστῷ καὶ τὸ αἷμα τοῦ Χριστοῦ καθαρίζει τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι· τήνδε γὰρ ἀληθινὴν ζωὴν εἰς ἡμᾶς ἡ τῆς ἱερᾶς τραπέζης δύναμις ἀπὸ τῆς μακαρίας ἐκείνης ἕλκει καρδίας, τό τε λατρεύειν θεῷ καθαρῶς

---

48. ὁπότε μηδ' αὐτός. C. οὐδ' αὐτός· — ἠσθένει γάρ. Rom. 8, 3. **Proxima verba** καὶ σαρκὸς **om. C.**

50. Ἔστι μὲν γάρ. C. γε μὲν γάρ. — κλινομένην ἐπαν. A. κλινουμένην.

51. **Eph. 2, 1. Hebr. 9, 14. Schol. B.** Ὅτι ἡ ἐν πνεύματι καὶ ἀληθείᾳ τοῦ θεοῦ λατρεία ἔργον ἐστὶ τῆς ἱερᾶς κοινωνίας.

ἐντεῦθεν ἡμῖν. Εἰ γὰρ τοῦτό ἐστι καθαρὰ λατρεία θεοῦ, 52
τὸ ὑποτετάχθαι, τὸ ὑπακούειν, τὸ αὐτοῦ κινοῦντος πάντα
ποιεῖν, οὐκ οἶδα πόσ' ἂν μᾶλλον ὑποταγῆναι θεῷ δυνη
θεῖμεν, ἢ ἐπειδὰν αὐτοῦ γενώμεθα μέλη. Τίνι γὰρ ἂν
ὁτιοῦν ἐπιτάττειν δύναιτο μᾶλλον ἢ τοῖς μέλεσιν ἡ
κεφαλή; Μέλη γὰρ Χριστοῦ τοὺς τελουμένους καὶ
πάσης ἄλλης ἱερᾶς τελετῆς ἀπεργαζομένης τελεώτερον
ἡμῖν ὁ τῆς ζωῆς τοῦτο δίδωσιν ἄρτος. Καθάπερ γὰρ διὰ 53
τὴν κεφαλὴν καὶ τὴν καρδίαν τὰ μέλη· οὕτως „ὁ τρώγων
μέ φησιν κἀκεῖνος ζήσεται δι' ἐμέ." Ζῇ μὲν γὰρ καὶ διὰ
τὴν τροφήν. Ἡ τελετὴ δὲ οὐ τοῦτον ἔχει τὸν τρόπον, ἡ
τροφὴ μὲν γὰρ ἅτε μηδὲ αὐτὴ ζῶσα, ζωὴν μὲν ἡμῖν παρ'
ἑαυτῆς οὐκ ἂν εἰσενέγκοι· τῷ δὲ τῇ προσούσῃ τῷ σώματι
βοηθεῖν αἰτία ζωῆς τοῖς προσιεμένοις εἶναι δοκεῖ. Ὁ δὲ 54
τῆς ζωῆς ἄρτος αὐτός τε ἔστι ζῶν, καὶ δι' ἐκεῖνον ὡς ἀλη-
θῶς ζῶσιν, οἷς ἂν αὐτοῦ μεταδοίη· ὅθεν ἡ μὲν τροφὴ
πρὸς τὸν σιτούμενον μεταβάλλει καὶ ἰχθὺς καὶ
ἄρτος καὶ ὁτιοῦν ἄλλο σιτίον αἷμα ἀνθρώπειον, ἐνταῦθα
δὲ τοὐναντίον ἅπαν. Ὁ γὰρ τῆς ζωῆς ἄρτος αὐτὸς 55
κινεῖ τὸν σιτούμενον καὶ μεθίστησι καὶ πρὸς
ἑαυτὸν μεταβάλλει, καὶ ὃ τῆς καρδίας ἐπιεικῶς ἐστὶ
καὶ τῆς κεφαλῆς, κινούμεθα καὶ ζῶμεν τό γε εἰς αὐτὸν
ἥκον, ὡς ἔχει ζωῆς ἐκεῖνος· ὃ καὶ δηλῶν αὐτὸς ὁ σωτὴρ
ὡς οὐ τὸν σιτίων τρόπον ἡμῖν ἀνέχει τὸν βίον, ἀλλ' αὐ-
τὸς ἔχων οἰκοθεν ἐμπνεῖ, καὶ καθάπερ καρδία μέλεσιν ἢ
κεφαλὴ διαδίδωσι τὴν ζωὴν, ζῶντα δὲ ἑαυτὸν ἐκάλεσεν
ἄρτον, καί „ὁ τρώγων μέ φησι κἀκεῖνος ζήσεται δι' ἐμέ."

Φαίνεται τοίνυν τὸν θεὸν προσκυνεῖν ἐν πνεύματι καὶ 56
ἀληθείᾳ καὶ λατρεύειν καθαρῶς, τῆς ἱερᾶς ἔργον εἶναι
τραπέζης· οὐ μόνον Χριστοῦ μέλεσιν εἶναι καὶ τοῦτον εἴ-

---

52. *τοὺς τελουμένους.* Fort. add. *εἶναι.*
53. *ὁ τρώγων.* Joh. 6, 57. — *αὐτὴ ζῶσα.* C. *αὐτῇ.* Idem post *ζωὴν μέν* add. *ἡμῖν.*
54. *ἄρτος αὐτός τε.* A. B. om *τε.* In proximis B. *δι' ἐκείνου.*
55. Joh. 6, 54—58.

κειν αὐτῷ τὸν τρόπον, ἀπὸ τῶν μυστηρίων περιγίνεται τούτων ἡμῖν, ἀλλ' ὅτι νεκροὺς μὲν ὄντας οὐκ ἂν γένοιτο ζῶντι λατρεύειν θεῷ, ζῶντας δὲ εἶναι καὶ ἔργων ἀπηλλάχθαι νεκρῶν μὴ τοῦτο ἀεὶ δειπνοῦντας τὸ δεῖπνον. Καθάπερ γὰρ πνεῦμα τὸν θεὸν ὄντα καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, οὕτω καὶ ζῶντι ζῶντας εἶναι προσήκει τοὺς λατρεύειν προῃρημένους· „οὐ γάρ ἐστιν ὁ θεός φησι θεὸς νεκρῶν ἀλλὰ ζώντων." 58 Ἔστι μὲν οὖν καὶ τὸ ζῆν κατὰ τὸν ὀρθὸν λόγον καὶ πρὸς ἀρετὴν ἔχειν, θεῷ λατρεύειν· ἀλλ' ἐκεῖνο μὲν καὶ δούλων γένοιτ' ἂν ἔργον, — „ὅταν γὰρ ταῦτα πάντα ποιήσητέ φησι, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, — Αὕτη δὲ ἡ λατρεία πρὸς τῶν υἱῶν γίνεται μόνων, ἡμεῖς δὲ οὐ τῶν δούλων ἀλλ' εἰς τὸν τῶν παίδων καλούμεθα χορόν. Διὰ τοῦτο σαρκὸς καὶ αἵματος αὐτῷ κοινωνοῦμεν, τὰ γὰρ 59 παιδία φησὶ κεκοινώνηκε σαρκὸς καὶ αἵματος. Καθάπερ γὰρ ἐκεῖνος, ἵνα πατὴρ ἡμέτερος γένηται καὶ τὸν λόγον ἐκεῖνον δυνηθῇ λέγειν, — „ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοὶ ἔδωκεν ὁ θεος," — σαρκὸς καὶ αἵματος ἡμῖν ἐγένετο κοινωνὸς, οὕτω καὶ ἡμᾶς, ἵν' ἐκείνῳ γενώμεθα παῖδες, ἀνάγκη τῶν ἐκείνου μεταλαμβάνειν, καὶ τοῦτον τὸν τρόπον οὐ μέλη διὰ τὴν τελετὴν αὐτῷ γινόμεθα μόνον, ἀλλὰ καὶ παῖδες, ὥστε λατρεύειν ὑποταττομένους ἔχοντας μὲν καὶ 60 μετ' ἐθελουσίου γνώμης ὥσπερ οἱ παῖδες. Ἀκριβῶς δὲ καθάπερ τὰ μέλη· οὕτω γὰρ ἡ λατρεία θαυμαστὴ καὶ οὕτως ὑπερφυὴς, ὥστε καὶ ταύτης κἀκείνης δεῖ τῆς εἰκόνος καὶ τῆς τῶν υἱῶν καὶ τῆς τῶν μελῶν, ὡς οὐκ ἀρκούσης τῆς ἑτέρας τὸ ὃν ἐνδείξασθαι. Τί μὲν γὰρ τοῦτο θαυμαστὸν, μηδεμίαν κίνησιν οἴκοθεν αὐτοὺς κεκτημένους ὥσπερ τὰ μέλη ὡς ὑπὸ κεφαλῆς τοῦ θεοῦ κινηθῆναι; τί δὲ ἐκεῖνο

---

57. Matth. 22, 32—58. ἀχρεῖοι δοῦλοι. Luc. 17, 10. — C. αὐτὴ δὲ ἡ λ.

58. τὰ γὰρ παιδία. Hebr. 2, 14.

59. ἰδοὺ ἐγὼ καὶ τά. Jes. 8, 18. Hebr. 2, 13.

μέγα, καθάπερ τοῖς πατράσι τῆς σαρκὸς τῷ πατρὶ τῶν πνευμάτων ὑποταγῆναι; Τὸ δὲ συναμφότερον ὑπερφυὲς 61
ὅταν τοῦ λόγου τὴν αὐτονομίαν σώζοντες ὥσπερ οἱ παῖδες, ὑποταγῆναι δυνηθῶμεν ὥσπερ τὰ μέλη· καὶ τοῦτό ἐστι τὸ χρῆμα τῆς ὑμνουμένης υἱοθεσίας, οὐκ ἐπὶ τῆς φωνῆς ἱσταμένης ὥσπερ ἐπί τῶν ἀνθρωπίνων, οὐδὲ μέχρι τούτου τιμώσης. Ἐφ' ἡμῶν μὲν γὰρ οἱ ποιητοὶ τοῖς γεγεννημένοις ὀνόματος κοινωνοῦσι μόνον καὶ μέχρι τούτου κοινὸς αὐτοῖς ὁ πατὴρ, γέννησις δὲ οὐδεμία οὐδὲ ὠδῖνες· ἐνταῦθα δὲ καὶ γέννησίς ἐστιν ἀληθῶς καὶ κοινωνία πρὸς τὸν μονογενῆ, οὐ τῆς ἐπωνυμίας μόνον ἀλλὰ καὶ πραγμάτων αὐ- 62
τῶν, τοῦ αἵματος, τοῦ σώματος, τῆς ζωῆς· καὶ τί γὰρ μεῖζον ἢ ὅταν αὐτὸς ὁ πατὴρ τοῦ μονογενοῦς ἐν ἡμῖν ἐπιγινώσκῃ τὰ μέλη, ὅταν αὐτὴν εὑρίσκῃ τὴν μορφὴν τοῦ παιδὸς ἐπὶ τῶν προσώπων τῶν ἡμετέρων! „Συμμόρφους γάρ 63
φησι προώρισε τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ“· καὶ τί λέγω τὴν υἱότητα τὴν πεποιημένην, ὅταν τῆς φυσικῆς προσφυέστερον καὶ συγγενέστερον ἔχῃ, καὶ οἱ οὕτω γεννηθέντες υἱοὶ θεοῦ μᾶλλον ἢ τῶν γεγεννηκότων αὐτῶν, καὶ τοσοῦτο μᾶλλον, ὅσον ἐκείνων μᾶλλον ἢ τῶν ὑποβαλλομένων εἰσί! Τί γάρ ἐστιν, ὃ τοὺς ἀληθεῖς ἡμῖν πατέρας ποιεῖ; 64
ἐκ τῶν σαρκῶν αὐτῶν ταύτην ἔχομεν τὴν σάρκα, καὶ ἐκ τῶν αἱμάτων αὐτῶν συνέστηκεν ἡμῖν ἡ ζωή. Τοῦτο καὶ ἐπὶ τοῦ σωτῆρος σάρκες ἐσμὲν ἐκ τῶν σαρκῶν αὐτοῦ καὶ ὀστᾶ ἐκ τῶν ὀστῶν αὐτοῦ, ἀλλὰ τῆς κοινωνίας ἑκατέρας πολὺ τὸ μέσον. Ἐπὶ μὲν γὰρ τῶν φυσικῶν τὸ νῦν αἷμα τῶν 65

---

61. ὥσπερ τὰ μέλη. Schol. B. *Ὅτι ἡ κατὰ χάριν υἱοθεσία καὶ τὸ εἰσποιηθῆναι θεῷ, ἐν τῇ ἱερᾷ συνίσταται κοινωνίᾳ.*

62. ὅταν αὐτὴν εὑρίσκῃ. C. mutato ordine *εὑρίσκῃ αὐτήν.*

63. Rom. 8, 29. — A. B. post *συμμόρφους γάρ* om. *φησι.* Schol. *Ὅτι κατὰ ταύτην τὴν υἱοθεσίαν οἱ εἰσποιηθέντες θεῷ συγγενέστερον ἔχουσι πρὸς τὸν Χριστὸν ἢ πρὸς τοὺς γεγεννηκότας.*

64. πολὺ τὸ μέσον. Vs. *Sed utriusque communionis haud mediocre intervallum est.*

παίδων οὐκέτι καὶ τῶν γεγεννηκότων ἐστὶν, ἀλλ' ἦν ἐκείνων πρινὴ τῶν παίδων εἶναι, καὶ τοῦτο ποιεῖ τὸ γένος, ὅτι ὃ νῦν τούτων, ἐκείνων πρότερον ἦν· τὸ δὲ τῆς τελετῆς ἔργον, τὸ αἷμα ᾧ ζῶμεν, νῦν ἐστιν αἷμα Χριστοῦ, καὶ ἡ σὰρξ, ἣν πήγνυσιν ἡμῖν τὸ μυστήριον, σῶμά ἐστι τοῦ Χριστοῦ, καὶ κοινὰ ἔτι τὰ μέλη καὶ κοινὴ ἡ ζωή· τοῦτο δέ ἐστιν ἡ ἀληθὴς κοινωνία, ὅταν ἀμφοῖν τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον παρῇ, ὡς ἐπειδὰν ἑκάτερος ἔχῃ, καὶ νῦν μὲν οὗτος νῦν δὲ ἐκεῖνος, οὐ κοινωνεῖν ἂν εἴη μᾶλλον ἢ διεστάναι.

66 Οὐ γάρ ἐστι τὸ συνάπτον, ὅτι μὴ πάρεστι κατὰ ταὐτὸν ἀμφοτέροις, ὅ γε μόνος ἑκάτερος ἔχει· ὅθεν οὔτε κοινωνοῦσιν ἀλλήλοις, οὐτινοσοῦν ὡληθῶς οὔτε κεκοινωνήκασιν, ἀλλ' ὅ τι τὸ αὐτό ἐστιν, ὃ πρότερον ἦν τούτου νῦν δὲ ἐκείνου,

67 εἰκόνα τινὰ κοινωνίας ἔχει. Καθάπερ γὰρ οὐκ ἂν τις εἴη σύνοικος, ᾧ τὴν αὐτὴν ᾤκησεν οἰκίαν, εἰ μετ' ἐκεῖνον οἰκοίη οὐδ' ἀρχῆς καὶ πραγμάτων καὶ φροντίδων κοινωνὸς ὀτῳοῦν, ὃς ἐξεδέξατο τὴν ἀρχὴν, ἀλλ' ὃς ἂν πρός γε τῷ τὸν αὐτὸν οἰκῆσαι τόπον καὶ τῶν αὐτῶν προστῆναι πραγμάτων ἔτι καὶ χρόνοις χρήσαιτο τοῖς αὐτοῖς· τὸν ἴσον κἀνταῦθα τρόπον ἂν ἔχοι· καὶ σαρκὸς καὶ αἵματος τοῖς μὲν γεγεννηκόσιν οὐ πάνυ, μὴ τὸν αὐτὸν ἡμῖν αὐτὰ μετασχοῦσι χρόνον, τῷ Χριστῷ δὲ ὡς ἀληθῶς κοινωνοῦμεν,

68 πρὸς ὃν καὶ ἀεὶ σῶμα καὶ αἷμα καὶ μέλη καὶ πάντα ταῦτα κοινά. Εἰ δὲ τοῦτο ποιεῖ τὰ παιδία, τὸ κοινωνῆσαι σαρκὸς καὶ αἵματος, δῆλον καθέσταμεν πρὸς τὸν σωτῆρα συγγενέστερον ἔχοντες ἀπὸ τῆς τραπέζης ἢ τῆς φύσεως πρὸς τοὺς γεγεννηκότας αὐτούς· ἔτι τοίνυν οὐχ ἅπαξ ζωώσας ὥσπερ ἐκεῖνοι καὶ συστησάμενος ἀπηλλάγη, ἀλλ' ἀεὶ πάρεστι καὶ ἥνωται καὶ τούτῳ αὐτῷ ζωοῖ καὶ συνίστησι τῷ παρεῖναι. Καὶ τῶν μὲν γεγεννηκότων ἀφεστηκότας οὐδὲν κωλύει περιεῖναι, τοὺς δὲ τοῦ Χριστοῦ διϊστα-

69 μένους οὐδὲν ἄλλο λοιπὸν ἢ τεθνάναι. Καὶ τί μὴ λέγω τὸ μεῖζον; Συστῆναι μὲν γὰρ αὐτοὺς ἐφ' ἑαυτῶν τοὺς υἱ-

---

67. *μετ' ἐκεῖνον οἰκοίη.* A. *ᾠκείη.* Sed idem recte *οὐδ' ἀρχῆς*, contra B. et C., qui h. *οὔτ'*.

εἰς οὐκ ἔστι μὴ διαστάντας τῶν γεγεννηκότων, ἀλλὰ τοῦτο ποιεῖ τοὺς μὲν γεγεννηκέναι, τοὺς δὲ γεγεννῆσθαι τὴν ἀρχὴν τῷ διαιρεθῆναι· ἡ δ' ἐπὶ τῶν μυστηρίων υἱότης ἐν τῷ συνεῖναι καὶ κοινωνεῖν ἐστι, καὶ τοῦτό ἐστι διεφθάρθαι καὶ μηκέτ' εἶναι. Οὐκοῦν εἰ κοινωνίαν τινὰ βούλεται τὸ τῆς συγγενείας ὄνομα καὶ τούτους οἶμαι μηνύει τοὺς αἵματι κοινῷ συνηιμιένους, μόνη μὲν αἵματος ἂν εἴη κοινότης, μόνη δὲ συγγένεια καὶ υἱότης, καθ' ἣν τῷ Χριστῷ κοινωνοῦμεν. Διὰ τοῦτο καὶ τὴν φυσικὴν γέννησιν ἀποκρύπτει, ἐπειδὰν ἐπὶ τῶν αὐτῶν γένωνται· „ὅσοι γὰρ ἔλα- 70
βον αὐτόν φησιν, οἷς ἔδωκεν ἐξουσίαν τέκνα θεοῦ γενέσθαι“· καίτοι γεγέννηνται καὶ σάρκες ἦσαν οἱ γεγεννηκότες, καὶ τῆς γεννήσεως προτέρα ταύτης ἐκείνη· ἀλλὰ τοσοῦτον ἡ δευτέρα κατεκράτησε τῆς πρεσβυτέρας, ὥστε μηδὲ ἴχνος ἐκείνης μηδὲ ὄνομα λοιπὸν εἶναι, καὶ οὕτως ὁ ἱερὸς ἄρτος τὸν νέον εἰσάγων ἄνθρωπον πρόρριζον ἐκβάλλει τὸν παλαιόν. Καὶ τοῦτο γὰρ τῆς ἱερᾶς ἔργον τραπέζης, 71
οἱ γὰρ λαβόντες αὐτόν φησιν οὐκ ἐγεννήθησαν ἐξ αἱμάτων· πότε δὲ αὐτὸν λαμβάνομεν, ἐπιγνῶμεν τὸ ῥῆμα, καὶ παρ' ᾧ τῶν μυστηρίων εἴρηται τοῦτο. Λέγω δὴ τὸ λάβετε· δῆλον γάρ, ὡς ἐπὶ τὸ δεῖπνον ταύτῃ καλούμεθα τῇ φωνῇ, καθ' ὃ τὸν Χριστὸν καὶ χερσὶ λαμβάνομεν ἀληθῶς 72
καὶ στόματι δεχόμεθα καὶ ψυχῇ συμμίγνυμεν καὶ σώματι συνάπτομεν καὶ κιρνῶμεν αἵματι, καὶ πρόσεστι τὸ δικαίως. Τοῖς γὰρ οὕτω τὸν σωτῆρα καὶ λαβοῦσι καὶ κατασχοῦσι διατέλους ἐστὶ μὲν αὐτὸς ἁρμόζουσα κεφαλή, τούτῳ δὲ ἐκεῖνοι πρέποντα μέλη· γέννησιν δὲ τὰ μέλη γεννηθῆναι τῇ κεφαλῇ τὴν αὐτὴν ἀκόλουθον ἦν. Οὐκ ἐξ αἱμάτων ἡ σὰρξ ἐκείνη οὐδὲ ἐκ θελήματος σαρκὸς 73
οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ τοῦ ἁγίου

69. τῷ διαιρεθῆναι. C. τό. — μόνη δὲ συγγένεια. B. καὶ συγγ.
70. Joh. 1, 12. 13. οὕτως ὁ ἱερός. B. οὗτος.
71. καὶ παρ' ᾧ. Unus B. παρ' ὅ.
72. Matth. 26, 26. 27. — πρόσεστι τὸ δικαίως. C. προσέτι.
73. Joh. 1, 13. Matth. 1, 20.

πνεύματος, — „τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν φησιν ἐκ πνεύματός ἐστιν ἁγίου“, — εἰκὸς ἦν καὶ τὰ μέλη τοῦτον γεννηθῆναι τὸν τρόπον, ὅπου γε καὶ αὐτὴ ἡ γέννησις τῆς κε-
74 φαλῆς τῶν μελῶν τῶν μακαρίων γέννησις ἦν. Τοῦτο γὰρ ἦν συστῆναι τὰ μέλη, τὸ γεννηθῆναι τὴν κεφαλήν· εἰ δὲ καὶ ἡ ἀρχὴ τῆς ζωῆς γέννησίς ἐστιν ἑκάστῳ, καὶ τὸ τὴν ζωὴν ἄρξασθαι τοῦτό ἐστι γεννηθῆναι, δι' ὧν ζωὴ τῶν αὐτῷ προσκειμένων ἐστὶν ὁ Χριστὸς, αὐτοὶ γεγένηνται τοῦ Χριστοῦ τὸν βίον τοῦτον εἰσεληλυθότος καὶ γεγεννηθέντος.
75 Τοσοῦτος σωρὸς ἡμῖν ἀγαθῶν ἀπὸ τῆς ἱερᾶς ἀνίσχει τραπέζης, ῥύεται δίκης, ἀποτρίβεται τὴν ἀπὸ τῆς ἁμαρτίας αἰσχύνην, ἀνακαλεῖται τὴν ὥραν, αὐτῷ προσδεῖ τῷ Χριστῷ τῶν φυσικῶν δεσμῶν ἀκριβέστερον, τὸ καθάπαξ εἰπεῖν τελείους ποιεῖ τὸν ἀληθῆ Χριστιανισμὸν τελετῆς ἁπάσης διαφερόντως.

76 Ἐνταῦθα δὲ περὶ τοῦ μυστηρίου πολλοῖς ἐπῆλθε θαυμάζειν, εἰ οὕτω τελεώτατα πάντων ἔχον, πρὸς τὸ λύειν εὐθύνης τοῦ βαπτίσματος ἐλάττω δοκεῖ δύνασθαι μεῖζον ὄν· ἐκεῖνο μὲν γὰρ οὐδὲν πονοῦντας,
77 τὸ δὲ πόνων ἡγησαμένων. Καὶ τῶν μὲν ἐκεῖ καθαρθέντων πρὸς τοὺς μηδὲ τὴν ἀρχὴν μολυσμὸν ὁντινοῦν δεξαμένους οὐδεμία διαφορὰ, τῶν δὲ ἐπὶ τοῦ δείπνου πολλοῖς τῶν ἡμαρτημένων ἔνεισιν ἴχνη· καὶ διελόντας ἀκριβέστερον εἰπεῖν, τεττάρων τούτων ἐν τοῖς ἡμαρτημένοις θεωρουμένων, τοῦ τὴν ἁμαρτίαν ἐργασαμένου, τῆς πονηρᾶς ἐνεργείας, τῆς ἐπὶ ταύτῃ δίκης, τῆς ἐκεῖθεν ἐντεθείσης τῇ ψυχῇ προτροπῆς, τῆς μὲν ἐνεργείας αὐτὸν οἴκοθεν

---

74. *τῶν αὐτῷ προσκειμένων.* B. *αὐτῶν.*

75. *ἀνακαλεῖται τὴν ὥραν*, i. e. **revocat vitae flores atque integritatem. Vs.** *pulchritudinem reparat.*

76. *οὐδὲν πονοῦντας* **scil.** *δύναται λύειν.*

77. *καὶ διελόντας.* **„et ut rem explicantes accuratius dicamus.“** — *τῆς ἐπὶ ταύτῃ δίκης.* **sic scripsi cum A., B. h.** *ταύτης*, **C.** *ταῦτα* — **B. Schol.** *Διὰ τί τὸ τῆς τραπέζης μυστήριον τελεώτερον τοῦ βαπτίσματος ὄν, οὔτε ἀναπλάττει τὸν ἡμαρτηκότα, οὔτε καθαίρει πόνων χωρὶς, ὥσπερ τὸ βάπτισμα.*

ἀπηλλάχθαι δεῖ τὸν εἰργασμένον καὶ πεπαυμένον ἐπὶ τὸ λουτρὸν ἥκειν, τἄλλα δὲ τὸ βάπτισμα μὲν οὐδὲν οὐδενὸς πραγματευσαμένου καθάπαξ ἐκ μέσου πάντα ποιεῖ, καὶ τὴν δίκην καὶ τὴν νόσον, ὥστε καὶ αὐτὸν ἀναιρεῖν πιστεύεται τὸν ἡμαρτηκότα. Καὶ γὰρ ἐναποθνήσκει τοῖς ὕδασι καὶ 78
νέος τίς ἐστιν ἄνθρωπος, ὃν ἀναδίδωσι τὸ λουτρόν· ὁ δὲ ἱερὸς ἄρτος, ὃν ἂν ἠνιαμένου λάβοι καὶ πεπονηκότα, τῶν ἡμαρτημένων ἀξίως ἀφίησι μὲν εὐθύνης, ἀποκλύζει δὲ τῆς πονηρᾶς ἕξεως τὴν ψυχήν, ἀποκτείνει δὲ οὐδαμῶς, οὐ γὰρ ἀναπλάττειν ἄνωθεν οἶδε· καὶ τοῦτον μόνον τῶν τῆς ἁμαρτίας ὅρων ἀκίνητον καταλείπει καὶ μένειν ἀφίησιν, ὑπεύθυνον μὲν οὐκέτι, αὐτὸν δὲ ὅμως τὸν τολμητήν. Εἰσὶ δὲ 79
οἳ καὶ σημεῖα τῆς ἀῤῥωστίας φέρουσιν ἔτι καὶ οὐλὰς τῶν πάλαι πληγῶν, ἂν ἧττον ἢ προσῆκον ἦν μελήσῃ περὶ τῶν τραυμάτων αὐτοῖς, καὶ πρὸς τὴν τοῦ φαρμάκου δύναμιν οὐκ ἐφάμιλλον εἰσενέγκωσι τῆς ψυχῆς τὴν παρασκευήν· καὶ τῆς καθάρσεως τούτῳ διήνεγκε ταύτης ἐκείνη, ὅτι τε οὐκ ἀποπνίγειν λέγεται τὸν ἡμαρτηκότα καὶ ἀναπλάττειν, καὶ ὅτι μένοντα καθαίρουσα μόνον οὐδὲ τοῦθ' ἡμῖν ἔχει πόνων χωρίς. Ταῦτα δὲ πρὸς μὲν τὴν τελετὴν οὐδέν, ἀλλ' 80
εἰς αὐτὴν ἥκει τὴν φύσιν τοῦ πράγματος καὶ τοῦ χρῆναι τοὺς ὑπευθύνους, ταύτῃ μὲν λουμένους, ἐκείνως δὲ δειπνοῦντας καθαίρεσθαι. Καὶ περὶ μὲν τοῦ δεῖσθαι πόνων ἐκεῖνο λέγω. Τὸ βάπτισμα μὲν μήπω συστάντας παραλαβὸν μηδὲ δύναμιν ἡντινοῦν κεκτημένους ὑπὲρ τοῦ καλοῦ δραμεῖν, οὐ μάτην ἡμᾶς ταῦτα πάντα προῖκα ἐργάζεται καὶ δεῖται τῶν παρ' ἡμῶν οὐδενός, ὡς ἂν εἰσενεγκεῖν δυναμένων. Ἡ τράπεζα δὲ συνεστῶσιν ἤδη καὶ ζῶσι καὶ δυναμένοις 81
ἀρκεῖν ἡμῖν αὐτοῖς προκειμένη, χρῆσθαι τῇ δυνάμει καὶ τοῖς δοθεῖσιν ὅπλοις ἀφίησι, καὶ διώκειν τἀγαθὸν οὐκέτι

---

78. ἐναποθνήσκει. B. C. ἀποθνήσκει. — οἶδε· καὶ τοῦτον. A τοῦτο. Paullo infra ante ὅμως B. om. δέ.

79. ἧττον ἢ προσῆκον. A. ἦ B. ᾗ. — ταύτῃ μὲν λουμένους. C. τ. μ. τελουμένους, quae sequitur in B. ἐκείνους.

80. ταῦτα π. πρ. ἐργ. A. om. πάντα.

κομιζομένους οὐδ' ἐλκομένους, ἀλλ' αὐτοὺς οἴκοθεν καὶ παρ' ἡμῶν αὐτῶν ὁρμιῶντας καὶ κινουμένους, ὡς ἂν ἤδη
82 τρέχειν ἐπισταμένους. Τί μὲν γὰρ ἔδει καὶ ποιῆσαι λαβεῖν, οἷς οὐκ ἔδει χρήσασθαι; τί δὲ ῥωννῦναι καὶ καθοπλίζειν τὸν οἴκοι μέλλοντα καθεύδειν; Εἰ γὰρ μήτε τὴν ἀρχὴν γαννωμένοις μήθ' ὕστερον καθαίρεσθαι βουλομένοις ἀγώνων ἦν καὶ πόνων καιρός, οὐκ οἶδα πότ' ἂν ἡμῖν αὐτοῖς ἐγενόμεθα χρήσιμοι, τί δ' ἂν ἦν ἔργον ἀνθρώπου τῶν ὑπὲρ τῆς ἀρετῆς δρόμιων ἀνηρημένων, μᾶλλον δὲ τί χεῖρον
. ἂν ἦν πράγματος, πραττόντων μὲν ὧν ἔπαινός ἐστιν οὐδὲ ἕν, πρὸς δὲ τὸ πονηρὸν ἐνεργὸν ἐχόντων ἑκάστοτε τὴν
83 ψυχήν! Διὰ ταῦτα τόπον ἔργων ἀνθρώποις ἔδει συγχωρηθῆναι καὶ καιρὸν ἀγώνων, τό γε τελείοις ἀνδράσιν εἶναι παρὰ τῶν μυστηρίων ἤδη λαβοῦσι καὶ δυναμένοις τὸ τῇ φύσει προσῆκον ἔργον ἐργάζεσθαι, καὶ τῆς ἡμέρας φανείσης, ἣν ὁ κύριος ἐποίησε, μηκέτι καθεύδειν ἀλλ' ἐπ' ἔργα χωρεῖν, καὶ ᾗ φησι Δαβὶδ „ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ τὸν ἄνθρωπον ἐξελθεῖν ἕως ἑσπέ-
84 ρας.“ Καθάπερ γὰρ μετὰ ταύτην τὴν ἡμέραν ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι, οὕτω καὶ πρὸ ταύτης ἦν, ὅτε παντελὴς ἦν τοῦ πράττειν ἀδυναμία, καὶ οὐδεὶς ᾔδει ποῖ δεῖ βαδίζειν, νυκτὸς ἐχούσης ἔτι τὴν γῆν, „ἐν ᾗ φησιν ὁ περιπατῶν οὐκ οἶδε ποῦ ὑπάγει“· τοῦ ἡλίου δὲ ἀνασχόντος καὶ πανταχοῦ διὰ τῶν μυστηρίων τῆς ἀκτῖνος χεθείσης, ἀνάγκη μηδεμίαν ἀνθρωπίνων ἔργων εἶναι καὶ πόνων ἀναβολήν, ἀλλὰ σιτεῖσθαι τὸν ἄρτον τοῦτον ἐν ἱδρῶτι τοῦ προσώπου τὸν ἡμέτερον ὡς ὑπὲρ ἡμῶν κλώμενον, ἄλλως θ' ὅτι τοῖς λογικοῖς ἀφώρισται μόνοις, καὶ ὅ φησιν ὁ κύριος, ἐργάζεσθαι τὴν „μένουσαν βρῶσιν“, ὅπερ ἐστὶ κελεύοντος,

---

83. ἐπὶ τὸ ἔργον αὐτοῦ. Ps. 109, 23.

84. καὶ πρὸ ταύτης ἦν. Proxima: ὅτε παντελὴς ἦν, desunt in B. — οὐκ οἶδε π. ὑπάγει. Joh. 12, 35. — μένουσαν βρῶσιν. Joh. 6, 27. — τοῖς λογικοῖς. „quia etiam panis solis ratione et libero arbitrio praeditis destinatus est.“

οὐκ ἀργοὺς οὐδ' ἀπράκτους, ἀλλ' ἐργαζομένους ἐπὶ τὸ δεῖπνον τοῦτο χωρεῖν. Εἰ γὰρ τοὺς ἀργοὺς καὶ τῆς ἀπολ- 85
λυμένης τραπέζης ὁ τοῦ Παύλου νόμος ἀπάγει, — „ὁ γὰρ ἀργός φησι μηδὲ ἐσθιέτω", — τίνων δεήσει τῶν ἔργων τοῖς ἐπὶ ταύτην καλουμένοις τὴν τράπεζαν;

Ὅτι μὲν οὖν οὕτως ἐχρῆν τῶν ἱερῶν ἅπτεσθαι δώ- 86
ρων, καὶ τούτου χάριν πρὸ τῆς τελετῆς οἴκοθεν αὐτοὺς καθαίρεσθαι δεῖ, φανερὸν ἐκ τῶν εἰρημένων· ὅτι δὲ τοῦτό ἐστιν οὐκ ἐλάττω μόνον τῶν ἄλλων μυστηρίων ἀλλὰ καὶ μείζω δυναμιένοις, δῆλον ἐκεῖθεν. Πρῶτον μὲν γὰρ εἰ τοῖς 87
βελτίοσιν ὁ θεὸς τὰ μείζω δωρεῖται, ὃς τὸν ἔλεον ἵστησι καὶ ζυγῷ τινι, τὸ τοῦ προφήτου, καὶ δικαιοσύνῃ πάντα ποιεῖ, πολλῷ δὲ καλλίους ἡμιᾶς εὐποιεῖ τετελεσμένους ἤδη καί που καὶ περὶ ἀρετῆς ἀγωνισαμένους, ἢ μηδὲ τὴν ἀρχὴν λουσαμιένους, λείπεται καὶ τήν χάριν ταύτην ἐκείνης εἶναι βελτίω καὶ τῶν δευτέρων ἀμεινόνων τοὺς μεμυημιένους τυγχάνειν. Ἔστι δ' ἐκεῖνο μὲν τὸ βάπτισμα, τοῦτο δὲ τὸ 88
δεῖπνον τὸ ἱερὸν, ὃ τοσοῦτο τελεώτερον ἡγεῖσθαι προσῆκεν, ὅσῳ μείζονος δεῖ τοῖς προσελθεῖν βουλομένοις παρασκευῆς. Οὐ γὰρ εἰκὸς, τὸ μεῖζον μὲν τοῖς βουλομένοις ἅπασι, τὸ δ' ἔλαττον τοῖς ἀγῶσιν ἢ μυστηρίοις καθηραμιένοις ἐξεῖναι· τοὐναντίον μὲν οὖν ἐντεῦθεν εὔλογον τεκμαίρεσθαι καὶ τελεώτερον ἔχειν ἐκεῖνο νομίζειν, ὃ μὴ πολλῶν ἔργων καὶ γενναίων οὐκ ἔστι ὠνήσασθαι. Ἔπειτα κἀκεῖνο χρὴ συνι- 89
δεῖν, ὅτι συναγωνιστής ἐστιν ἡμῖν ὁ Χριστὸς εὐωχῶν, ὁ δὲ συναγωνιστὴς χεῖρα δίδωσιν οὐ κειμένοις οὐδὲ νοσοῦσιν, ἀλλὰ ῥώμης μὲν καὶ τόλμης ἔχουσιν εὖ, πρὸς δὲ τὸν ἀνταγωνιστὴν γενναίως καὶ καλῶς ἱσταμένοις. Αὐτὸς γὰρ ἡμῖν ὁ Χριστὸς ἐνεργῶν ἐν ἑκάστῳ τῶν μυστηρίων πάντα γίνεται, πλάστης, ἀλείπτης, συναγωνιστὴς, τὸ μὲν λούων,

---

85. *ὁ γὰρ ἀργός.* 2 Thess. 3, 10.
87. *ζυγῷ τινι.* Conf. Jerem. 5, 5.
88. *τοὐναντίον μὲν οὖν.* C. om. *οὖν.* — *μὴ πολλῶν γενναίων.* Suppleri velim *παρόντων.*

90 τὸ δὲ χρίων, τὸ δὲ τρέφων. Ἐκεῖ μὲν γὰρ ἐξ ἀρχῆς τὰ μέλη δημιουργεῖ, ἐνταῦθα δὲ τῷ πνεύματι ῥώννυσιν, ἐπὶ δὲ τῆς τραπέζης σύνεστιν ἀκριβῶς καὶ συνδιαφέρει τὸν ἆθλον, μετὰ δὲ τὴν ἀπαλλαγὴν ἀθλοθέτης ἔσται καὶ καθεδεῖται τοῖς ἁγίοις κριτὴς ὧν ἐκοινώνησε πόνων· εἶτα καὶ νίκη, τοὺς ἀποδεδειγμένους ἀναδῆσαι δεῆσαν, καὶ στέφα-
91 νός ἐστιν ὁ αὐτός. Πρὸς τοίνυν τὸ θαρρῆσαι τοὺς ὑπὲρ φιλοσοφίας ἀγῶνας καὶ διενεγκεῖν δυνηθῆναι πλάττων μὲν καὶ ἀλείφων πάντα δίδωσι, συναγωνιζόμενος δὲ οὐ πάντα, ἐπὶ δὲ τοῦ καιροῦ τῶν ἄθλων οὐδέν. Οὔτε γὰρ τὸν ἀλείπτην καὶ πλάστην εὔλογον παραλιπεῖν τι τῶν διαθεῖναι τὸν ἀγωνίστην δυναμένων, οὔτε τὸν συναγωνιστὴν ὁ τοῦ κοινωνοῦ δίδωσι λόγος εἰς ἑαυτὸν τὸ πᾶν ἀνελέσθαι, καὶ τὸν μὲν ἐπιτρέπειν τρυφᾶν, αὐτὸν δὲ μόνον ἀποδύεσθαι, καὶ μὴν οὐδὲ τὸν ἀθλοθέτην ἢ τὸν στέφανον αὐτὸν ἀλείφειν εἰκὸς ἢ πλάττειν ἢ τὰ τοῦ ἰατροῦ ποιεῖν, οὐδέ τι προστιθέναι νίκης ἢ ἀνδρείας ἢ ῥώμης ἢ ἀρετῆς ἠστινοσοῦν ἄλλης τοῖς ἀθλήταις, ἀλλὰ τὴν οὖσαν μόνον καὶ φανεῖσαν
92 εἰδέναι κοσμεῖν. Ἔστι δὲ τοῖς ἀριστεῦσιν ἄμεινον μὲν τὸ στεφανοῦσθαι τοῦ νικᾶν ἀγωνιζομένους, ἄμεινον δὲ τὸ νικητὰς εἶναι τοῦ πλάττεσθαι· τὸ μὲν γὰρ ὑπὲρ τοῦ νικᾶν, ἡ νίκη δὲ τῶν στεφάνων ἕνεκα· ἀλλ' εἰ τοῦτο σημεῖον ἦν ἀτελοῦς καὶ τῆς ἐλάσσονος μοίρας, τὸ μὴ πάντη καθαίρειν μηδὲ παρασκευάζειν καὶ πλάττειν, ἧττον ἂν ἦν εἰς εὐδαιμονίαν ὁ τελευταῖος τῆς μακαριότητος ὅρος. Λέγω δὴ τὸ τυχεῖν θεοῦ στεφανοῦντος τοῦ μετὰ παραπετασμάτων ἐπὶ τῆς τραπέζης αὐτοῦ μετέχειν, ὡς τῆς μὲν τραπέζης καὶ παρασκευὴν ἐχούσης τινὰ καὶ κάθαρσιν, τῶν στε-
93 φάνων δὲ τούτων οὐδέτερον. Διὰ ταῦτα οὐ χρὴ θαυμάζειν, εἰ τελειότερον ὂν μυστήριον τὸ δεῖπνον ἧττον οἶδε κα-

---

90. *τοὺς ἀποδεδειγμένους — δεῆσαν.* **Codd. omnes** *τάς*, **quod ferri nequit. Verborum sensus hic videtur: „Quum ii, quos Christus comprobavit, tanquam victores coronandi sint."**

91. *ὁ τοῦ κοινωνοῦ δίδωσι.* **C.** *κοινοῦ.*

92. *καὶ τῆς ἐλάσσονος μοίρας.* **Desunt haec in A.**

θαίρειν, ἄλλως τε πρὸς τοῖς εἰρημένοις καὶ ἄθλόν ἐστι τουτὶ τὸ δῶρον· τοιοῦτον δὲ τὸ χρῆμα τῶν ἄθλων οὐ καθίστησιν οὐδὲ ἐργάζεται τοὺς ἀρίστους, ἀλλ' ἀναδείκνυσι καὶ κοσμεῖ. Οὐ γὰρ καθάρσιον ἐν τῷ δείπνῳ καὶ συναγωνιστὴς μόνον, 94 ἀλλὰ καὶ γέρας ἐστὶν ὁ Χριστὸς, ὃ δεῖ λαβεῖν ἀγωνισαμένους· τί γὰρ ἄλλο τοῖς μακαρίοις ἀντὶ τῶν ἐντεῦθα πόνων ἢ τὸ λαβεῖν Χριστὸν καὶ συνεῖναι; Καὶ Παῦλος μετὰ τὸν δρόμιον ἐκεῖνον τὴν ἐνθένδε ἀνάλυσιν εἰς τοῦτο λήγειν ἔσχατον ἔφη τὴν τοῦ Χριστοῦ συνουσίαν· ἀναλῦσαι γάρ φησι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον, τοῦτο δὲ τὸ τῆς τραπέζης ἔργον διαφερόντως. Εἰ γὰρ καὶ παρὰ τοῖς ἄλλοις μυστηρίοις ἔστιν εὑρεῖν τὸν 95 Χριστὸν, ἀλλ' ὥστε τῷ λαβεῖν παρασκευασθῆναι πρὸς τὸ δυνηθῆναι συνεῖναι, ἐνταῦθα δὲ ὥστε ἤδη καθαρῶς λαβεῖν καὶ συνεῖναι· τοῦ γὰρ τῶν ἄλλων τὸ ἓν σῶμα καὶ ἓν πνεῦμα καὶ τὸ μένειν μὲν ἐν αὐτῷ, μένοντα δὲ ἔχειν αὐτὸν, ὑπὲρ οὗ δοκῶ καὶ Χριστὸς αὐτὸς τὴν μακαρίστητα τῶν δικαίων δεῖπνον εἶναί φησιν, αὐτὸν ἔχον διακονοῦντα.

Οὕτω μὲν οὖν ἄθλόν ἐστιν ὁ τῆς ζωῆς ἄρτος· 96 ἐπεὶ δὲ οἱ τοῦτο δεχόμενοι τὸ δῶρον τὴν γῆν ἔτι πατοῦσι καὶ ὁδοιποροῦσι καὶ διὰ τοῦτο καὶ κονίζονται καὶ προσκόπτουσι καὶ λῃστῶν δεδοίκασι χεῖρας, πρὸς τὴν παροῦσαν χρείαν αὐτοῖς εἰκότως ἀρκεῖ καὶ τὴν ἰσχὺν ἀνέχει καὶ ἡγεμών ἐστι καὶ καθαίρει, ἕως καταλύσουσιν, οὗ κατὰ τὸν Πέτρου λόγον καλὸν εἶναι τὸν ἄνθρωπον, ὅπου τῶν ἄλλων μὲν οὐδεμία χώρα, ἐν καθαρῷ πραγμάτων χωρίῳ μένουσιν ἤδη, μόνου δὲ στέφανός ἐστιν αὐτοῖς ὁ Χριστὸς συνὼν καθαρῶς. Οὐκοῦν ὡς μὲν καθάρσιον καὶ πρὸς τοῦτο συστᾶν ἐξ ἀρχῆς 97 μολυσμοῦ παντὸς ἀπαλλάττει, ὡς δὲ κοινωνὸς ἡμῖν τῶν ἀγώνων, ὧν ἡγεμὼν ὑπῆρξε, πρωτότοκος εἰς τούτους ἀπο-

---

93. *τουτὶ τὸ δῶρον.* B. C. *τοῦτο.*
94. *ἀναλῦσαι γάρ.* Phil 1, 23.
95. *ὥστε τῷ λαβεῖν παρ.* C. *τό.* — *αὐτὸν* — *διακονοῦντα.* Luc. 12, 37.
96. *τὸν Πέτρου λόγον.* Matth. 17, 4.
97. *πρωτότοκος εἰς τούτους.* B. *πρῶτος.*

δυσάμενος ἰσχὺν κατὰ τῶν πολεμούντων παρέχει, — οτι δὲ καὶ γέρας οὐκ ἄνευ πόνων, ὃ τοίνυν ὡς ἆθλον ἔχει τὸ δεῖπνον καὶ ὡς ἐσχάτη μακαριότης, τίν' ἔχει λόγον, ὡς ἐλάττω δυναμένου ποιεῖσθαι τεκμήριον; — τὸν ἴσον δὲ τρόπον χρὴ καὶ περὶ θατέρου ψηφίζεσθαι καὶ νομίζειν, τῇ
98 τελευτῇ τοῦ μυστηρίου μὴ πολεμεῖν. Οὐ γὰρ ὅτι μέγα δύναται, τὸν ἁμαρτίαις διεφθαρμένον οὐκ ἀναπλάττει, ἀλλ' αὐτὸν μὴ δυνάμενον ταῦτα δέξασθαι καὶ παθεῖν, ἅπερ τὴν πρώτην ἔτι φέροντα πλάσιν, ἧπερ ἐν τοῖς πρόσθεν εἴρηται λόγοις, ἣν ἀφανίσαι καὶ τῶν ψυχῶν ἐξελεῖν τῶν ἅπαξ βαπτισαμένων, οὐδὲ τῆς ἐσχάτης ἐστὶ πονηρίας· οὐδ' ἂν αὐτὴν ἀρνήσασθαι τολμήσωσιν, ἣν ὡμολόγησαν τῷ κοινῷ δεσπότῃ δουλείαν, ὡς οὐδὲ τῆς ἄκρας φιλοσοφίας ἢ ψιλῆς τῆς ὁμολογίας δυνηθείσης ἐνθεῖναι, ἔπειθ' ὅτι καὶ καθόλου κρείττων ἐστὶν ὁ ἄνθρωπος ἢ τεθνάναι καὶ συντετρί-
99 φθαι, τούτου δὲ χωρὶς οὐκ ἦν ἀναπλάττεσθαι. Καὶ γὰρ ὁ μὲν θάνατος τοῦ παλαιοῦ κόμματος, καὶ οὗτος ὁ δυνάμενος ἀποθνήσκειν, ὃν ἀνέδωκεν ὁ χοῦς, „ἡ γὰρ ἀξίνη φησὶν Ἰωάννης πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται“· ὁ δὲ λελουμένος ἤδη τὸν νέον φορεῖ, οὐκοῦν πῶς μὲν ἀποθανεῖται πρὸς τὸν Ἀδὰμ ἡρμοσμένος, ὃς οὐκέτι ἀποθνήσκει; Ἀνθ' ὅτου δ' ἂν ἀποθάνοι, ὃν ὑπὲρ τοῦ λαβεῖν ἔδει
100 τεθνάναι, τοῦτον ἔτι φέρων ἐν τῇ ψυχῇ; Τοῦτο δὲ οὐδ' ἀπ' αὐτοῦ λαβεῖν ἔξεστιν τοῦ λουτροῦ· πῶς οὖν ἂν γένοιτο τῶν τελετῶν ταύτης ἐκείνη τούτῳ βελτίων, ὃ παρ' ἀμφοῖν ὁμοίως οὐκ ἔστιν εὑρεῖν; Οὐ γὰρ οὐδ' αὐτὸ δύναται τὸ βάπτισμα τοὺς ἤδη περιόντας καὶ πεπλασμένους αὖθις ἀναγεννᾶν, ὅ τε ἱερὸς θεσμὸς οὐδένα διὰ ταῦτα δὶς ἔλουσεν

---

98. *πρώτην ἔτι φέροντα.* A. om. *ἔτι.*

99. Luc. 3, 9. *παλαιοῦ κόμματος.* „Mors ad antiquum humanae naturae characterem pertinet.“ Eodem sensu *πονηρὸν, καινὸν κόμμα, τὸ κατ' ἐμὲ κόμμα* i. e. *ἡ κατ' ἐμὲ τάξις.* Vide infra §. 119 et Steph. Thes.

100. *οὐδ' ἀπ' αὐτοῦ λαβ.* C. om. *ἀπ'.*

ἄνθρωπον, οὐ τύπον τινὰ σώζων καὶ τάξιν, ἀλλ' ὅτι δὶς κατὰ ταὐτὸν γεννηθῆναι τῶν ἀμηχάνων.

Καὶ μὴν εἴποι τις ἄν, τοῦτό ἐστι βάπτισμα τὸ 101
τὴν θρησκείαν τοῖς διώκταις ἐπιδειξάμενον ἀποθνήσκειν· τί οὖν πολλοὶ τῶν ἐπὶ τοῦ ὕδατος τετελεσμένων καὶ τοῦτον ἦλθον τὸν δρόμιον, δεύτερον τοῦτο δεξάμενοι τὸ λουτρόν; Ἀλλ' ἐκεῖνό γε πρὸς ταῦτα ἔστιν εἰπεῖν. Ὡς ἄρα τῷ Χριστῷ τοὺς συνελθεῖν καὶ συζῆσαι προῃρη- 102
μένους συνίστησι μὲν τὸ πρὸς τὴν καλὴν πλάσιν ὑπὸ τῆς χειρὸς ἐκείνης πεπλάσθαι, συνίστησι δὲ τὸ δι' ἀρετῆς αὐτοὺς παρ' ἑαυτῶν ἀφικέσθαι καὶ τῶν ἐπαινουμένων ἀγώνων, τὸ μὲν οὖν ὕδατι βαπτισθῆναι πλάττει τὸν ἄνθρωπον καὶ τοῦτ' αὐτὸ δύναται μόνον, ὁ δ' ὑπὲρ Χριστοῦ θάνατος δῆλός ἐστιν ἀμφότερον ἔχων, ὅ τε χορηγεῖν οἶδε τὸ ὕδωρ καὶ ὃ παρ' ἡμῶν εἰσφέρεσθαι δεῖ. Καὶ τοίνυν τοῖς μὲν 103
μήπω μεμυημένοις ἔστι μὲν βάπτισμα καὶ πλάσις τῷ Χριστῷ καὶ μετὰ Χριστοῦ καὶ μαρτυροῦσι καὶ θαπτομένοις, ἐν οἷς ὁ τοῦ βαπτίσματος ἕστηκεν ὅρος, ἔστι δὲ ἀρετὴ τῶν ὑπὲρ τοῦ καλοῦ γέμιον ἱδρώτων καὶ καρτερίας τῆς ἐσχάτης· τοῖς δὲ τετελεσμένοις τὸ μὲν πρῶτον οὐ γίνεται πλασθεῖσιν ἤδη καὶ ζῶσι, τὸ δεύτερον δὲ, — καὶ γὰρ γυμνάσιον εὐσεβείας καὶ ἀρετῆς ἀπόδειξις, καὶ τοῦ τὸν Χριστὸν εἰδέναι καὶ φιλεῖν μὲν ὑπὲρ ὅ τι φιλητὸν ἅπαν, τῶν δ' εἰς ἐκεῖνον ἐλπίδων μηδὲν ἀσφαλέστερον ἄγειν, πεῖρα σαφὴς σιδήρῳ καὶ πυρὶ καὶ τοῖς βιαιοτάτοις δοκιμασθεῖσα. Καὶ τούτων ἕνεκα τῷ μὲν βαπτίσματι τοὺς 104
ἅπαξ μεμυημένους αὖθις θεμιτὸν ἥκιστα χρῆσθαι, δωρεῖσθαι μηδὲν πλέον, οὗ λαβόντες ἐκεῖθεν ἔχομεν, δυναμένῳ, τῇ μαρτυρίᾳ δὲ καὶ πάνυ μὴ μόνον γενναῖν καὶ πλάττειν, ἀλλὰ καὶ στεφάνους αὐτοῖς ἀπὸ γενναίων ἔργων πλέκειν ἐπισταμένῃ, καὶ διὰ τοῦτο τοῖς μὲν ἀμυήτοις ἀμφότερα κεκτημένῃ, τοῖς μεμυημένοις δὲ θάτερον. Καινὸν γὰρ 105

---

103. *καλοῦ γέμων ἱδρώτων.* Codd. omnes exhibent *γέμων*; tamen legendum videtur *γέμουσα*.

οὐδὲν, ἑαυτὴν συντελῆ πρὸς ἄμφω παρεχομένη τοὺς ἀμφοτέρων μὴ δεομένους ὑπὲρ θατέρου χρωμένους τυγχάνειν, οὗ δέονται μόνου, ἐπεὶ καὶ τὰ τῆς ἱερᾶς δῶρα τραπέζης οἶδε μὲν καθαίρειν τοὺς μήπω τοῦτο δεξαμένους, δύναται δὲ φωτίζειν τοὺς ἤδη κεκαθαρμένους· καὶ ὅμως οὐδὲν κωλύει, περὶ τοῦ δευτέρου προσιέναι τῷ μυστηρίῳ τοὺς τὸ πρῶτον ἔχοντας. Καὶ τούτων μὲν ἄλις.

106 Ἀλλ' ὅθεν ἡμῖν ὁ λόγος ἐπὶ ταῦτα προήχθη, τὴν παντελῆ τῶν ἀνθρώπων πρὸς τὸν θεὸν, ὅπερ ἐργάζεται, κοινωνίαν, εἴτε λατρείαν τὸ πρᾶγμα χρὴ καλεῖν, εἴτε υἱοθεσίαν εἴτε καὶ ἄμφω ταῦτα, τὸ ἱερόν ἐστι δεῖπνον, ὃ συγγενεῖς ἡμᾶς τῷ Χριστῷ ποιεῖ μᾶλλον ἢ τὸ παρ' αὐ-
107 τῶν φῦναι τοῖς γεγεννηκόσιν αὐτοῖς. Οὔτε γὰρ ἀμυδράν τινα σώματος ἡμῖν καταβάλλεται κρηπῖδα καὶ μικρὰς αἵματος ἀφορμιὰς, ἀλλὰ τελείων αὐτῶν ἡμῖν κοινωνεῖ, οὔτε ζωῆς αἴτιος μόνον ὥσπερ οἱ γεγεννηκότες, ἀλλὰ καὶ ζωὴ, καὶ οὐ τούτῳ δὴ λέγεται ζωὴ τῷ ζωῆς αἴτιος εἶναι, ὃν τρόπον φῶς ἐκάλει τοὺς ἀποστόλους, ὅτι φωτὸς ἡμῖν κατέστησαν ἡγεμόνες, ἀλλ' ὅτι ᾧ ζῇν ἔστιν ὡς ἀληθῶς, αὐτός ἐστιν αὐτὴ ἡ ζωὴ, ἐπεὶ καὶ ἁγίους τοῦς αὐτῷ προσκειμένους ἀπεργάζεται καὶ δικαίους, οὐ μόνον παιδεύων καὶ διδάσκων ἃ δεῖ, καὶ πρὸς ἀρετὴν ἀσκῶν τὴν ψυχὴν, καὶ ἣν ἐκείνη πρὸς τὸν ὀρθὸν λόγον δύναμιν ἔχει, πρὸς ἐνέργειαν ἄγων, ἀλλὰ καὶ αὐτὸς γινόμενος αὐτοῖς
108 δικαιοσύνη ἀπὸ θεοῦ καὶ ἁγιασμός. Τοῦτον γὰρ μάλιστα τὸν τρόπον τοῖς ἁγίοις τοῦτ' αὐτὸ τὸ μακαρίοις καὶ ἁγίοις εἶναι συμβαίνει τοῦ συνόντος ἕνεκα μακαρίου, δι' ὃν ἀπὸ μὲν νεκρῶν ζῶσι, σοφοὶ δὲ ἀπὸ ἀνοήτων, ἅγιοι δὲ καὶ δίκαιοι καὶ υἱοὶ θεοῦ ἀπὸ μιαρῶν καὶ πονηρῶν
109 κατέστησαν δούλων. Οἰκοθεν γὰρ αὐτοῖς καὶ τῆς ἀνθρωπείας φύσεως καὶ σπουδῆς, ἐξ ὧν ἂν κυρίως ταῦτα κα-

---

107. *φῶς ἐκάλει.* **Matth. 5, 14.**

109. *αὐτοῖς ἡ δικαιοσύνη.* **His addit C.** *μωρία μὲν αὐτοῖς ἡ δικαιοσύνη κτλ.*

ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα", ἀνθ' ὧν ἕκαστον τῶν ἐπὶ τὸν κλῆρον τοῦτον ἀφιξομένων πρότερον ἀποβαλόντα τὸν δοῦλον δεῖξαι δεῖ τὸν υἱόν, ὅπερ ἐστὶ τὴν μορφὴν τοῦ μονογενοῦς ἐπὶ τῶν προσώπων κομισαμένους μετὰ τούτου τοῦ κάλλους τῷ γεγεννηκότι φανῆναι· καὶ τοῦτό ἐστιν ὑπὸ τοῦ υἱοῦ τοῦ θεοῦ πάσης ἀφεθῆναι δουλείας καὶ ὡς ἀληθῶς ἐλευθέρους εἶναι, ὃ τῷ Χριστῷ νοεῖ τὸ πρὸς τοὺς Ἰουδαίους εἰρημένον ἐκεῖνο, „ἐὰν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε." Λύει γὰρ καὶ υἱοὺς θεοῦ ποιεῖται τοὺς δούλους, ὅτι υἱὸς ὢν αὐτὸς καὶ πάσης ἐλεύθερος ἁμαρτίας καὶ σῶμα αὐτοῖς καὶ αἷμα καὶ πνεῦμα καὶ τὰ αὐτοῦ πάντα κοινὰ ποιεῖται· τοῦτον γὰρ τὸν τρόπον καὶ ἀνέπλασε καὶ ἐλευθέρωσε καὶ ἐθέωσε, τὸν ὑγιᾶ καὶ ἐλεύθερον καὶ ἀληθινὸν θεὸν ἑαυτὸν ἡμῖν ἀναμίξας, καὶ οὕτω τὴν ἀληθινὴν ὄντα δικαιοσύνην τὸν Χριστόν, ἡμέτερον ἀγαθόν, καὶ πρὸ τῶν φυσικῶν αὐτῶν τὸ ἱερὸν ἐργάζεται δεῖπνον, ὥστε καὶ φιλοτιμούμεθα τοῖς αὐτοῦ καὶ ὡς ἂν αὐτοὶ κατωρθωκότες εὐδοκιμοῦμεν καὶ καλούμεθά γε ἐκεῖθεν, εἰ τὴν κοινωνίαν φυλάττομεν, καὶ εἴ τις ἀληθῶς ἅγιος καὶ δίκαιος καὶ ὁτιοῦν τῶν ἐπαινουμένων ἀκούοι, τὴν ἐπωνυμίαν ἐξ ὧν ἐκείνου τετύχηκεν, ἔλαβεν. „Ἐν τῷ θεῷ γάρ φησιν ἐπαινεθήσεται ἡ ψυχή μου, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη"· ὅθεν τῶν ἀνθρωπίνων μὲν οὐδὲν, τὰ Χριστοῦ δὲ ἀπαιτούμεθα καὶ ἐνεγκεῖν ἐπὶ τῶν ψυχῶν καὶ φέροντας ἀπελθεῖν, καὶ ταύτην πρὸ τῶν στεφάνων ἐπιδείξασθαι τὴν φιλοσοφίαν ἐκ παντὸς τρόπου, καὶ τοῦτον τὸν καινὸν πλοῦτον, μηδὲν ἐπεισαγαγόντας αὐτῷ τοῦ πονηροῦ κόμματος, ὡς μόνην ταύτην οὖσαν ὑπὲρ τῆς ἐν οὐρανῷ βασιλείας ἀξιόχρεω φοράν. Ἐπεὶ γὰρ 118 119 120

---

117. Joh. 8, 35. *ὁ υἱὸς μένει — αἰῶνα.* om. A. — *ἐὰν ὁ υἱὸς ὑμᾶς.* Joh. 8, 36.

118. *ἀναμίξας.* Macar. Opusc. l. c. p. 117. — *κατωρθωκότες εὐδοκιμοῦμεν.* B. interponit *οὕτως.* Idem mox *ἀκούει.*

119. Gen. 12, 3. Gal. 3, 8. — *ὥθεν τῶν ἀνθρωπίνων.* B. *οὐρανίων.* — *καινὸν πλοῦτον.* Vide Macar. Opusc. p. 141. 220.

διὰ τοῦ βαπτίσματος, ἵνα ἐν καινότητι ζωῆς περιπατήσωμεν, καὶ πρὸς Τιμόθεον „ἐπιλαβοῦ φησι Παῦλος τῆς αἰωνίου ζωῆς“, καὶ „γίνεσθε ἅγιοι κατὰ τὸν καλέσαντα ἅγιον“, καὶ „γίνεσθε οἰκτίρμονες, οὐ τὸν ἔλεον τὸν ἀνθρώπειον ἀλλὰ καθὼς καὶ ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐστὶ“,
113 καὶ „ἀγαπᾶτε ἀλλήλους καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς.“ Ὦι φίλτρῳ Παῦλος ἐφίλει ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ· ὅθεν καὶ ὁ σωτὴρ αὐτὸς τοὺς μαθητὰς εἰρήνην ἄγειν κελεύων αὐτὴν ἐντίθησιν αὐτοῖς τὴν εἰρήνην τὴν ἑαυτοῦ· „εἰρήνην γάρ φησι τὴν ἐμὴν δίδωμι ὑμῖν“, καὶ πρὸς τὸν πατέρα
114 „ἵνα φησὶν ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ.“ Καὶ ὅλως καθάπερ ἡ γέννησις θεία τίς ἐστι καὶ ὑπερφυὴς, οὕτω καὶ ἡ ζωὴ καὶ ἡ δίαιτα καὶ ἡ φιλοσοφία καὶ πάντα ταῦτα καινὰ καὶ πνευματικά· καὶ τοῦτο δηλῶν ὁ σωτὴρ Νικοδήμῳ „τὸ γεγεννημένον ἐκ τοῦ πνεύματός φησι πνεῦμά
115 ἐστι.“ Διὰ τοῦτο καὶ Παῦλος „ἵνα εὑρεθῶ φησιν ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ τὴν ἐκ θεοῦ δικαιοσύνην“, ὁ δὲ λόγος ὅτι τοῦτό ἐστι τὸ βασιλικὸν ἱμάτιον· τὰ γὰρ ἡμέτερα δοῦλα, ἐλευθερία δὲ καὶ βασιλεία, πρὸς ἣν ἐπείγεσθαι δεῖ, πῶς (ἂν γένοιτο δοῦλον· οὐ γὰρ) ἂν εἴη βασιλείας ἀξίους φανῆναι πλέον οὐδὲν ἢ δούλων ἀρετὴν ἐπιδειξαμένους!
116 Καθάπερ γὰρ ἡ φθορὰ τῆς ἀφθαρσίας οὐκ ἂν γένοιτο κληρόνομος, δεῖ δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, τὸν ἴσον τρόπον οὐδὲ τὰ τῶν δούλων ἔργα πρὸς τὴν βασιλείαν ἐκείνην ἀρκέσαι δύναιτ' ἂν ἡμῖν, ἀλλὰ τῆς ἐκ θεοῦ δικαι-
117 οσύνης δεήσει. Υἱὸν γὰρ εἶναι δεῖ τὸν κληρονόμον δοῦλον· „ὁ γὰρ δοῦλός φησιν οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα,

---

113. εἰρήνην γάρ. Joh. 14, 27. 17, 26.

114. τὸ γεγεννημένον. Joh. 3, 6.

115. ἵνα εὑρεθῶ. Phil. 3, 9. — ἐπείγεσθαι δεῖ, πῶς. Proxima verba quae uncis inclusi, textus exhibet cod. B., in C. margini ab interpolatore adscripta sunt, A. plane omisit.

ὁ τότε εἰπὼν „ἐκ σκότους φῶς λάμψαι“, Παύλου φωνή. Καὶ τὸ πᾶν εἰπεῖν, ἐπὶ μὲν τῶν προτέρων χρόνων διὰ τῶν 125
κτισμάτων τούτων τῶν ὁρωμένων εὐηργέτει τὸ γένος καὶ προστάγμασι καὶ προσβείαις καὶ νόμοις ἦγε τὸν ἄνθρωπον, τοῦτο μὲν χρώμενος ἀγγέλοις, τοῦτο δὲ τῶν ἀνθρώπων τοῖς σεμνοτέροις, νῦν δὲ αὐτὸς ἀμέσως δι' ἑαυτοῦ καὶ πρὸς πάντα χρώμενος ἑαυτῷ.

Σκοπῶμεν γὰρ ἄνωθεν. Ἐπὶ τῷ σῶσαι τὸ γένος οὐκ 126
ἄγγελον ἔπεμψεν, ἀλλ' αὐτὸς ἐλήλυθεν· ἔδει μαθεῖν τοὺς ἀνθρώπους, ὑπὲρ ὧν ἀφίκετο, καὶ οὐ κατὰ χώραν μένων μετεπέμπετο τοὺς ἀκουσομένους, ἀλλ' αὐτὸς ἐζήτει περιιὼν, οἷς ἂν μεταδοίη τῶν λόγων. Καὶ τὰ μέγιστα τῶν ἀγα- 127
θῶν ἐπὶ τῆς γλώττης κομίζων ἐπὶ τὰς θύρας ἐχώρει τῶν εὖ παθεῖν δεομένων, καὶ μὴν καὶ τοὺς νοσοῦντας οὕτως ἰᾶτο παραγενόμενος αὐτὸς καὶ χειρὸς ἁπτόμενος, καὶ ὀφθαλμοὺς ἐδημιούργει γεγεννημένῳ τυφλῷ, τῷ προσώπῳ πηλὸν ἐπιβαλὼν, ὃν αὐτὸς οἴκοθεν ἐποίησε πτύσας εἰς τὴν γῆν καὶ τῷ δακτύλῳ μιάξας, ἀνείλετο καὶ προσέπλασε καὶ ἥψατο τῆς σοροῦ φησι καὶ ἐπέστη τῷ τάφῳ Λαζάρου καὶ φωνὴν ἔγγυθεν ἀφῆκε, καίτοι καὶ πόρρωθεν εἴπερ ἐβούλετο καὶ λόγῳ καὶ νεύματι μόνῳ, καὶ ταῦτα καὶ τὰ τούτων ἔτι μείζω πάντα ἂν εἰργασμένος, ὅς γε καὶ τὸν τρόπον τοῦτον ἐποίησεν. Ἀλλὰ τὸ μὲν ἂν ἦν τῆς αὐτοῦ 128
δυνάμεως τεκμήριον ἐναργὲς, ἐκεῖνο δὲ τῆς φιλανθρωπίας σημεῖον, ἣν ἐπιδειξάμενος ἦλθεν. Ἔτι τοίνυν τοὺς ἐν Ἅιδου δεσμώτας ἔδει λυθῆναι, καὶ τὸ ἔργον οὐκ ἐπέτρεψεν ἀγγέλοις ἢ τοῖς ἄρχουσι τῶν ἀγγέλων, ἀλλ' αὐτὸς κατῆλθεν εἰς τὸ δεσμωτήριον. Τοὺς αἰχμαλώτους· τὴν ἐλευθερίαν 129
εἰκὸς ἦν οὐ προῖκα λαβεῖν ἀλλ' ἐωνημένους, καὶ λύει τὸ αἷμα καταβαλών· τοῦτον τὸν τρόπον ἐξ ἐκείνου καὶ εἰς τὴν ἐσχάτην ἡμέραν ἀπαλλάττει καὶ εὐθύνης ἀφίησι καὶ

126. Ἐπὶ τῷ σῶσαι. B. ἐπὶ τό.
127. τῆς σοροῦ. Luc. 7, 14. — Deinde pro τάφῳ B. h. τάφου.
129. ἐξ ἐκείνου. B. perperam οὐκ ἐξ ἐ. — καθαρισμὸν ποιησάμενος. Hebr. 1, 3.

ἆθλον, ὃ δεῖ λαβεῖν ἀγωνισαμένους, ὁ θεός ἐστιν αὐτὸς, ἀνάγκη δὴ πρὸς τὸ γέρας ἀνάλογον ἔχειν καὶ θείους εἶναι τοὺς ἀγῶνας, καὶ θεὸν τοῖς ἀθληταῖς οὐ μόνον ἀλείπτην εἶναι καὶ τῶν ἀγώνων ἡγεμόνα, ἀλλὰ καὶ αὐτὸν ἐν αὐτοῖς εἶναι τὸν κατορθοῦντα, ὥστε τὸν μὲν ζητούμενον τέλος τῇ παρασκευῇ, τῷ τέλει δὲ τὴν παρασκευὴν ἀκόλουθον εἶναι.

121 Καθάπερ γὰρ εἰς τὴν γῆν πέμπων οὐδὲν ἡμᾶς ἔδρασεν οὐδ' ἀπῄτησεν ὑπερφυὲς, οὕτω πρὸς θεὸν ἄγων καὶ τῆς γῆς ἀπαλλάττων οὐδὲν ἀφῆκεν ἔχειν ἀνθρώπινον, ἀλλ' ὧν ἡμῖν ἐδέησε, πρὸς πάντα ἑαυτὸν ἥρμοσε, καὶ τῶν πρὸς τὸ τέλος ἐκεῖνο παρασκευάσαι δυναμένων οὐδὲν παρῆκεν ὀρ-

122 γὸν ἑαυτοῦ. Εἴτε γὰρ ἀῤῥωστίαν εἴποι τις ἂν τὸ ἡμέτερον τοῦτο καὶ ἰατρείαν, οὐκ αὐτὸς εἰσῆλθεν εἰς τὸν κάμινον μόνον καὶ ὀφθαλμιῶν ἠξίωσε καὶ χειρὸς καὶ ὧν ἔδει πρὸς τὴν θεραπείαν αὐτουργὸς ἦν, ἀλλὰ καὶ αὐτὸ τὸ φάρμακον καὶ ἡ δίαιτα καὶ ὁτιοῦν ἄλλο τῶν πρὸς ὑγείαν φερόντων αὐτὸς ἐγένετο, — εἴτε ἀνάπλασίς ἐστιν, ἐξ ἑαυτοῦ καὶ τῶν οἰκείων σαρκῶν τὸ ἐνδέον ἀνακαλεῖται, καὶ

123 ὃ τοῦ διαφθαρέντος ἡμῖν ἀντεισήγαγεν, αὐτὸς ἦν. Οὐ γὰρ, ὅθεν ἔπλασεν, ἀπὸ τῆς αὐτῆς ἀνέπλασεν ὕλης, ἀλλ' ἐκεῖνο μὲν ἐποίησε χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ὑπὲρ δὲ τοῦ δευτέρου τὸ οἰκεῖον ἔδωκε σῶμα, καὶ τὴν ζωὴν ἀνακτώμενος οὐ τὴν ψυχὴν ἐπὶ τῆς φύσεως ἐστῶσαν ποιεῖ καλλίω, ἀλλὰ τὸ αἷμα ἐγχέων ταῖς τῶν μεμυημένων καρδίαις

124 τὴν ἑαυτοῦ ζωὴν αὐτοῖς ἀνατέλλει. Τότε μὲν γὰρ ἐνεφύσησέ φησι πνοὴν ζωῆς, νῦν δὲ τοῦ πνεύματος ἡμῖν αὐτοῦ κοινωνεῖ· καὶ γὰρ ἐξαπέστειλέ φησιν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν κράζον ἀββᾶ ὁ πατήρ· ἐπεὶ καὶ φωτὸς δεῆσαν τότε μὲν γεννηθήτω φῶς εἶπε, καὶ ἐγένετο φῶς τὸ δοῦλον τοῦτο, νῦν δὲ ὁ δεσπότης αὐτὸς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν

---

122. ἡμῖν ἀντεισήγαγεν. C. ἀντεισάγων.

123. ἀνέπλασεν ὕλης. B. ἀνεπλάσθη μεν (sic).

124. ἐνεφύσησε. Joh. 20, 22. — ἐξαπέστειλεν. Gal. 4, 6. — φῶς λάμψαι. 2 Cor. 4, 6.

τοῖς δούλοις μέχρι σταυροῦ καὶ θανάτου, καὶ οὕτω τὰς ψυχὰς τῶν δούλων αἱρεῖ καὶ τὴν θέλησιν ἀμέσως χειροῦται. Τούτου χάριν καὶ Παῦλος ταύτην τὴν διακονίαν 134
τὴν αἰτίαν εἰδὼς εἶναι τῆς βασιλείας, ὅτι „ἐταπείνωσεν ἑαυτόν φησι γενόμενος ὑπήκοος μέχρι θανάτου καὶ θανάτου σταυροῦ, διὰ τοῦτο ὁ θεὸς αὐτὸν ὑπερύψωσε“· καὶ ὁ θαυμαστὸς Ἡσαίας „διὰ τοῦτο αὐτός φησι κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ μετὰ ἀνόμων ἐλογίσθη.“ Διὰ μὲν γὰρ τὴν πρώτην δημιουργίαν τῆς φύ- 135
σεως ἡμῶν ὁ Χριστὸς δεσπότης, διὰ δὲ τὴν καινὴν κτίσιν τῆς γνώμης ἐκράτησεν, ὅπερ ἐστὶν ἀνθρώπων ὡς ἀληθῶς βασιλεύειν, ὅτε τὴν κατὰ τὸν λογισμὸν ἐξουσίαν καὶ τὴν τῆς γνώμης αὐτονομίαν, ἃ ποιεῖ τὸν ἄνθρωπον, ἐνταῦθα καταδήσας καὶ δουλωσάμενος ἤγαγεν, ὑπὲρ οὗ καὶ „ἐδόθη μοι πᾶσα ἐξουσία φησὶν ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς“, — ὡς δή τι καινὸν παθὼν ὁ πρὸ τῶν αἰώνων τοῦ κόσμου δεσπότης, ὅτι μετὰ τῶν ἐν οὐρανῷ καὶ ἡ τῶν ἀνθρώπων φύσις τὸν κοινὸν ἐπέγνω δεσπότην. Καὶ μὴν καὶ 136
τὸ τοῦ Δαβὶδ ἐκεῖνο, „ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη“, ταύτην ἐστὶν αἰνιττομένου τὴν βασιλείαν, καθ' ἣν τὰ ἔθνη „σύσσωμα τῷ σωτῆρι καὶ συμμέτοχα“ Παῦλός φησι. Τῷ γὰρ οὕτω τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καθάπαξ ἡνῶσθαι οὐ σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν καὶ προαιρέσεων κατέστη δεσπότης, καὶ κρατεῖ τὴν ὡς ἀληθῶς αὐτάρκη καὶ καθαρὰν βασιλείαν, αὐτὸς ἄγων δι' ἑαυτοῦ καθάπερ ψυχὴ σῶμα καὶ μέλη κεφαλή. Ἄγουσι γὰρ οἱ στέργειν τὸν 137
ζυγὸν ᾠήθησαν τοῦτον, ὥσπερ οὐκ αὐτοὶ λόγῳ συζῶντες οὐδὲ προαιρέσεως συνόντες αὐτονομίᾳ. „Κτηνώδης γάρ

134. *τὴν αἰτίαν εἰδώς.* C. om. *τήν.* Idem et B. paullo infra *μέχρι θανάτου δὲ σταυροῦ.* Phil. 2, 8. Jes. 53, 12.

135. *ἀνθρώπων ὡς ἀληθῶς.* B. hic et supra § 132 in eadem formula om. *ὡς.* — *ἐδόθη μοι πᾶσα.* Matth. 28, 18.

136. *ἐβασίλευσεν.* Ps. 47, 9. *σύσσωμα.* Eph. 3, 6.

137. *κτηνώδης γάρ.* Ps. 73, 22. — *κρατήσῃ κτίσις* A. mutato ordine *κτίσις κρατήσῃ.*

ῥύπου τὰς ψυχὰς ἀποκλύζει. Καὶ γὰρ αὐτός ἐστιν, ᾧ καθαίρει, ὅπερ ὁ Παῦλος δηλῶν „δι' ἑαυτοῦ φησι καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δε-
130 ξιᾷ τοῦ θρόνου τῆς μεγαλοσύνης ἐν τοῖς οὐρανοῖς.“ Διὰ ταῦτα καὶ διάκονον αὐτὸν καλεῖ καὶ αὐτὸς ἑαυτὸν διακονοῦντα, καὶ ἐπὶ τῷ διακονῆσαι παρὰ τοῦ πατρὸς εἰς τὸν κόσμον ἐληλυθέναι, καὶ τὸ μέγιστον ἁπάντων, — οὐ γὰρ ἐπὶ τοῦ παρόντος μόνον, ὅτε μετὰ τῆς ἀνθρωπείας ἀσθενείας ἐφάνη καὶ ἦλθεν, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, καὶ τὰ τῶν δούλων ἐπεδείκνυτο καὶ τὰ τοῦ δεσπότου πάντα ἀπέκρυπτεν, ἀλλ' ἤδη καὶ ἐπὶ τοῦ μέλλοντος, ὅτε μετὰ δυνάμεως ἀφίξεται καὶ μετὰ τῆς πατρικῆς φανεῖται δόξης, ἐπὶ τῆς ἀναδείξεως, ἐπὶ τῆς βασιλείας αὐτῆς περιζώσεταί φησι καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν διακονήσει αὐτοῖς· εἰκότως δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ τύραννοι κρατοῦσι
131 γῆς. Τοῦτον γὰρ τὸν τρόπον τὴν καθαρὰν καὶ ἀληθινὴν ἐβασίλευσε βασιλείαν, αὐτὸς ἑαυτῷ πρὸς τὴν βασιλείαν ἀρκέσας, καὶ οὕτως ἤγαγεν, ὧν ἐκράτησεν, ἱλαρώτερον μὲν φίλων, ἀκριβέστερον δὲ τυράννων, πατρὸς φιλοστοργώτερον, μελῶν συμφυέστερον, καρδίας ἀναγκαιότερον, οὐ φόβῳ κλίνων, οὐ μισθῷ δουλούμενος, ἀλλ' αὐτὸς ὢν ἑαυτῷ δύναμις τῆς ἀρχῆς καὶ μόνος αὐτὸς ἑαυτῷ συνάπτων
132 τοὺς ἀρχομένους. Τὸ γὰρ φόβῳ ἢ μισθούμενον βασιλεύειν οὐκ αὐτόν ἐστιν ὡς ἀληθῶς ἄρχειν, ἀλλὰ τῆς ὑπακοῆς τὰς ἐλπίδας αἰτιᾶσθαι δεῖ καὶ τὰς ἀπειλάς· ὥσπερ τοίνυν οὐκ ἂν ἄρχοι κυρίως, ᾧ τὸ κρατεῖν ἑτέρωθεν, οὕτως οὐδὲ δουλεύειν ἔστιν ὡς ἀληθῶς τῷ θεῷ, ἐπειδάν κατά τινα τῶν εἰρημένων ὑποταττώμεθα τρόπον· ἐπεὶ δὲ ἔδει τὴν καθαρωτάτην ἀρχὴν αὐτὸν βασιλεύειν, οὐ γὰρ ἦν
133 εἰκὸς τὴν ἑτέραν, ἐξεῦρεν ὅπως ἀνύσει. Καὶ οὗτος ἦν ὁ τρόπος ὁ παραδοξότατος. Τοῖς γὰρ ἐναντίοις ἐχρήσατο, καὶ ἵνα δεσπότης ἀληθὴς ᾖ, δούλου δέχεται φύσιν καὶ διακονεῖ

---

130. *διάκονον — διακονοῦντα.* Rom. 15, 8. Gal. 2, 17. Matth. 20, 28. Luc. 12, 37 — *μετὰ τῆς πατρικῆς.* B. *ἐπί.*

131. *ἑαυτῷ συνάπτων.* Macar. Opusc. de perf. in spir. p. 37.

132. *οὐκ ἂν ἄρχοι κυρίως.* C. *ἄρχει.*

τοῖς δούλοις μέχρι σταυροῦ καὶ θανάτου, καὶ οὕτω τὰς ψυχὰς τῶν δούλων αἱρεῖ καὶ τὴν θέλησιν ἀμέσως χειροῦται. Τούτου χάριν καὶ Παῦλος ταύτην τὴν διακονίαν 134
τὴν αἰτίαν εἰδὼς εἶναι τῆς βασιλείας, ὅτι „ἐταπείνωσεν ἑαυτόν φησι γενόμενος ὑπήκοος μέχρι θανάτου καὶ θανάτου σταυροῦ, διὰ τοῦτο ὁ θεὸς αὐτὸν ὑπερύψωσε“· καὶ ὁ θαυμαστὸς Ἡσαίας „διὰ τοῦτο αὐτός φησι κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ μετὰ ἀνόμων ἐλογίσθη.“ Διὰ μὲν γὰρ τὴν πρώτην δημιουργίαν τῆς φύ- 135
σεως ἡμῶν ὁ Χριστὸς δεσπότης, διὰ δὲ τὴν καινὴν κτίσιν τῆς γνώμης ἐκράτησεν, ὅπερ ἐστὶν ἀνθρώπων ὡς ἀληθῶς βασιλεύειν, ὅτε τὴν κατὰ τὸν λογισμὸν ἐξουσίαν καὶ τὴν τῆς γνώμης αὐτονομίαν, ἃ ποιεῖ τὸν ἄνθρωπον, ἐνταῦθα καταδήσας καὶ δουλωσάμενος ἤγαγεν, ὑπὲρ οὗ καὶ „ἐδόθη μοι πᾶσα ἐξουσία φησὶν ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς“, — ὡς δή τι καινὸν παθὼν ὁ πρὸ τῶν αἰώνων τοῦ κόσμου δεσπότης, ὅτι μετὰ τῶν ἐν οὐρανῷ καὶ ἡ τῶν ἀνθρώπων φύσις τὸν κοινὸν ἐπέγνω δεσπότην. Καὶ μὴν καὶ 136
τὸ τοῦ Δαβὶδ ἐκεῖνο, „ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη“, ταύτην ἐστὶν αἰνιττομένου τὴν βασιλείαν, καθ' ἣν τὰ ἔθνη „σύσσωμα τῷ σωτῆρι καὶ συμμέτοχα“ Παῦλός φησι. Τῷ γὰρ οὕτω τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καθάπαξ ἡνῶσθαι οὐ σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν καὶ προαιρέσεων κατέστη δεσπότης, καὶ κρατεῖ τὴν ὡς ἀληθῶς αὐτάρκη καὶ καθαρὰν βασιλείαν, αὐτὸς ἄγων δι' ἑαυτοῦ καθάπερ ψυχὴ σῶμα καὶ μέλη κεφαλή. Ἄγονται γὰρ οἳ στέργειν τὸν 137
ζυγὸν ᾠήθησαν τοῦτον, ὥσπερ οὐκ αὐτοὶ λόγῳ συζῶντες οὐδὲ προαιρέσεως συνόντες αὐτονομίᾳ. „Κτηνώδης γάρ

134. *τὴν αἰτίαν εἰδώς.* C. om. *τήν.* Idem et B. paullo infra *μέχρι θανάτου δὲ σταυροῦ.* **Phil. 2, 8. Jes. 53, 12.**

135. *ἀνθρώπων ὡς ἀληθῶς.* B. hic et supra § 132 in eadem formula om. *ὡς.* — *ἐδόθη μοι πᾶσα.* **Matth. 28, 18.**

136. *ἐβασίλευσεν.* **Ps. 47, 9.** *σύσσωμα.* **Eph. 3, 6.**

137. *κτηνώδης γάρ.* **Ps. 73, 22.** — *κρατήσῃ κτίσις* A. mutato ordine *κτίσις κρατήσῃ.*

φησιν ἐγενόμην παρὰ σοὶ", καὶ τοῦτό ἐστι τὴν ψυχήν τινα τὴν ἑαυτοῦ μισῆσαι καὶ ἀπολέσαι καὶ δι' ὧν ἀπόλλυσι σῶσαι, ὅταν οὕτως ἡ καινὴ κρατήσῃ κτίσις καὶ ὁ καινὸς Ἀδὰμ παντάπασιν ἀποκρύψῃ τὸν παλαιὸν καὶ οὔτε γεννήσεως οὔτε
138 ζωῆς οὔτε τελευτῆς οὐδὲν τῆς παλαιᾶς περιλειφθῇ ζύμης. Καὶ γὰρ τῷ παλαιῷ μὲν ἀπὸ τῆς γῆς συνέστη τὸ σῶμα, ὁ δὲ „νέος ἐκ θεοῦ φησιν ἐγεννήθη", καὶ τῆς ζωῆς δὲ ἑκατέρας ἡ τράπεζα μαρτύρων ἑκατέρα· τὴν μὲν γὰρ ἀνῆκεν ἡ γῆ, τὸν δὲ καινὸν ἄνθρωπον ὁ ἐπουράνιος ἀπὸ τῶν οἰ-
139 κείων τρέφει σαρκῶν. Διὰ ταῦτα καὶ ἀναλύοντες ὁ μὲν εἰς τὴν γῆν ἐπανῆλθεν, ἐξ ἧς προῆλθεν, ὁ δὲ εἰς τὸν Χριστὸν ἐχώρησεν, ὅθεν ἐλήφθη, καὶ τῇ τοῦ προενεγκόντος ἀρχῇ κατάλληλον ἑκάτερος ποιεῖται τὴν τελευτήν· „οἷος γάρ φησιν ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι", καὶ οὐ τῆς ψυχῆς
140 ἕνεκα μόνον ἀλλὰ καὶ τοῦ σώματος αὐτοῦ. Καὶ αὐτὸ γὰρ ἐπουράνιον, καθάπερ τὸ συναμφότερον ἐκεῖ χοϊκόν· ἥ τε γὰρ ψυχὴ τὰς χεῖρας οἰκεῖ τοῦ ἐπουρανίου τό τε σῶμα μέλος ἐκείνου, καὶ ψυχῆς μὲν οὐ μετέχει, τοῦ δὲ ζῶντος πνεύματος γέμει καὶ ζῇ μετὰ τὴν τελευτὴν τῆς προτέρας ζωῆς οὐδ' ὅσον εἰπεῖν καλλίω, ἐπεὶ μηδ' ἀπέθανεν ἀληθῶς τὴν ἀρχήν· ἔδοξαν γάρ φησι Σολομιὼν τεθνάναι, καὶ οὐ τοῖς εὖ φρονοῦσιν ἀλλ' ἐν ἀφρόνων ὀφθαλμοῖς.
141 Καθάπερ γὰρ ὁ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει, οὕτω τὰ Χριστοῦ μέλη θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα· πῶς γὰρ ἂν γεύσαιτο θανάτου τῆς ζώσης ἀεὶ καρδίας ἐξηρτημένα;
142 Εἰ δὲ κόνις τὸ ὁρώμενον καὶ πλέον οὐδέν, οὐ χρὴ θαυμάζειν. Ὁ μὲν γὰρ πλοῦτος ἔνδον· „ἡ ζωὴ γάρ φησιν ἡμῶν κέκρυπται", ὁ δὲ θησαυρὸς ὀστράκινον σκεῦος,

---

138. Col. 3, 10. Eph. 4, 24. 1 Joh. 3, 9.

139. καὶ ἀναλύοντες i. e. ἀναλυόμενοι. — ὁ χοϊκός. 1 Cor. 15, 48. τοιοῦτοι καὶ οἱ ἐπουρ. A. om. καί.

141. μηδ' ἀπέθανεν ἀληθῶς. B. οὐδ'. Sap. Sal. 3, 2.

142. ἡ ζωὴ γάρ. Col. 3, 3. 2 Cor. 4, 7.

„ἔχομεν γὰρ τὸν πλοῦτον τοῦτον ἐν ὀστρακίνοις σκεύεσι“ Παῦλος εἶπεν· ὅθεν οἷς τὰ θύραζε φαίνεται μόνοι, ὁ πηλὸς ἂν ὁρῶτο μόνος τοῦ Χριστοῦ διαδειχθέντος, καὶ ἡ κόνις αὕτη τὸ οἰκεῖον ἐπιδείξεται κάλλος, ὅτε τῆς ἀστραπῆς ἐκείνης μέλος οὖσα φανεῖται καὶ προσαρμόσει τῷ ἡλίῳ καὶ τὴν ἀκτῖνα κοινὴν ἀφήσει. „Λάμψουσι γάρ φησιν οἱ δί- 143
καιοι ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν“, βασιλείαν τοῦ πατρὸς τὴν ἀκτῖνα καλῶν ἐκείνην, καθ' ἣν ὤφθη μὲν αὐτὸς λάμπων τοῖς ἀποστόλοις, αὐτὴν τὴν βασιλείαν τοῦ θεοῦ, καθάπερ αὐτός φησιν ἐληλυθυῖαν „ἐν δυνάμει τεθεαμένους“· λάμψουσι δὲ καὶ οἱ δίκαιοι ἐπὶ τῆς ἡμέρας ἐκείνης μίαν λαμπρότητα καὶ δόξαν, τῶν μὲν τῷ δεχέσθαι, τοῦ δὲ τῷ διαδόναι φαιδρυνομένων. Ὁ γὰρ 144
ἄρτος οὗτος, τὸ σῶμα τοῦτο, ὅπερ ἐνθένδεν ἀπὸ τῆς τραπέζης ταύτης ἐκεῖ κομίζοντες ἥξουσι, τοῦτό ἐστιν ὅπερ ἐπὶ τῶν νεφελῶν τότε φανεῖται πᾶσιν ὀφθαλμοῖς, καὶ δείξει τὴν ὥραν ἀνατολῆ καὶ δύσει δίκην ἀστραπῆς ἐν μιᾷ χρόνου ῥοπῇ· μετὰ ταύτης ζῶσιν οἱ μακάριοι τῆς ἀκτῖνος καὶ τελευτώντων τὸ φῶς οὐκ ἀποχωρεῖ. Φῶς γὰρ δικαίοις 145
διαπαντὸς, καὶ πρὸς τὴν ζωὴν ἐκείνην τούτῳ λάμποντες ἀφικνοῦνται, ᾧ τὸν ἀεὶ συνῆσαν χρόνον, ἐπ' ἐκεῖνο τηνικαῦτα τρέχοντες. Ὁ γὰρ ἑκάστῳ συμβήσεται τότε τῶν ἀναβιωσκομένων, ὁστᾶ καὶ μέρη καὶ μέλη τῇ κεφαλῇ συνιόντα τὴν ὁλότητα τῷ σώματι διασώζειν, τοῦτο καὶ τῷ σωτῆρι Χριστῷ τῇ πάντων κοινῇ κεφαλῇ. Καὶ γὰρ ἐπὶ 146
τῶν νεφελῶν ἀστράψασα μόνου τὰ οἰκεῖα πανταχόθεν ἀπολήψεται μέλη, θεὸς ἐν μέσῳ θεῶν, ὡραῖος ὡραίου κορυφαῖος χοροῦ, καὶ καθάπερ τὰ μετέωρα βάρη τῶν δεσμῶν τῶν ἐπεχόντων ῥαγέντων ἐπὶ τὴν γῆν χωρεῖ καὶ τὸν μέσον εὐθὺς ἐζήτησε τόπον, ὡς δὲ καὶ τὰ σώματα τοῖς ἁγίοις προσήλωται μὲν τῇ γῇ, τῇ φθορᾷ δεθέντα καὶ τυραννού-

---

143. *λάμψουσι γάρ.* Matth. 13, 43. *ἐν δυνάμει* 1 Cor. 4, 20.
145. *τῇ κεφαλῇ συνιόντα.* A. *συνόντα.*
146. *στενάζομεν — σκήνει.* 2 Cor. 5, 4.

μενα μένει, — καὶ διὰ τοῦτο στενάζομέν φησιν ἐν τῷ σκήνει, — φανείσης δὲ τῆς ἐλευθερίας ἀκρατήτῳ φορῷ πρὸς τὸν Χριστὸν ἴεται τὸν οἰκεῖον κομιζόμενα τόπον.
147 Ὅθεν ὁ Παῦλος ἄσχετον δεικνὺς εἶναι τὸν δρόμιον ἐκεῖνον ἁρπαγὴν τὸ πρᾶγμα καλεῖ· ἁρπαγησόμεθα γάρ φησιν ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ ὁ σωτὴρ παραλαμβάνεσθαί φησιν αὐτοὺς „τότε δύο λέγων ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται“, ἐκεῖνο σημαίνων, ὡς οὐδὲν ἀνθρώπινον οὐδὲ παρ᾽ αὐτῶν, ὥστε καὶ σχολῆ τινα χώραν εἶναι, ἀλλ᾽ αὐτὸς ἑλκύσει,
148 αὐτὸς ἁρπάσει, ὃν οὐκ ἔνι χρόνῳ δουλεύειν. Καθάπερ γὰρ ἐξ ἀρχῆς οὐκ ἀνέμεινε ζητηθῆναι παρ᾽ αὐτῶν, ἀλλ᾽ αὐτὸς ἐζήτησε πλανωμένους, καὶ τὴν ὁδὸν ὑποδείξας ἔπειτα βαδίζειν μὴ δυναμένους ἀνελόμενος ἐπὶ τῶν ὤμων ἐκόμισε καὶ πίπτοντας ἀνεκαλεῖτο καὶ ῥαθυμοῦντας ἐπηνώρθου καὶ ἀποχωροῦντας παρεκάλει, καὶ ὅλως περὶ τῆς σωτηρίας αὐτοῖς διετέλεσεν ἐνοχλῶν· οὕτω καὶ τότε τὸν τελευταῖον πρὸς αὐτὸν τρέχοντας δρόμιον αὐτὸς ἀναστήσει καὶ πετομέ-
149 νοις αὐτὸς ἐργάσεται τὸ πτερόν. Διὰ τοῦτο καὶ ἀετοὺς ἀπεκάλει συνιόντας ἐπὶ τὸ πτῶμα, „ὅπου γάρ φησι τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.“ Καὶ γὰρ ἀπὸ τραπέζης ἐπὶ τράπεζαν ἥξουσι, τῆς ἔτι καλυπτομένης ἐπὶ τὴν
150 ἤδη φανερουμένην, ἀπὸ τοῦ ἄρτου ἐπὶ τὸ πτῶμα. Νῦν μὲν γὰρ ἄρτος ἐστὶν αὐτοῖς ὁ Χριστὸς, τὴν ἀνθρωπείαν ἔτι ζῶσι ζωὴν, καὶ πάσχα, διαβαίνουσι γὰρ ἐνθένδεν ἐπὶ τὴν ἐν οὐρανῷ πόλιν· ὅτε δὲ „ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοὶ, ὁ θαυμαστός φησιν Ἡσαΐας“, τότε δὲ ἐπ᾽ αὐτοῦ τοῦ πτώματος καθεδοῦνται καθαροῦ παραπετασμιά-

---

147. 1 Thess. 4, 17. 2 Cor. 12, 2. 4. — *παραλαμβάνεται.* Matth. 24, 40. Luc. 17, 34. — B. *τότε γάρ φησι δύο ἔσονται.* — *οὐκ ἔνι χρόνῳ δουλεύειν.* Loquendi formulae *χρόνῳ* sive *καιρῷ δουλεύειν*, servire tempori, exempla affert Stephanus.

149. *συνιόντας ἐπὶ τ. πτ.* A. *συνόντας.* Matth. 24, 28. — *τὴν ἀνθρωπείαν — ζωήν.* A. om. *ζῶσι.*

150. *πτεροφυήσουσιν.* Jes. 40, 31.

ρων ἁπάντων, ἕκαστον ἔπειτα τίνος ἐστὶν αἴνιγμα καὶ ὅ τι φέρει, σκοπῶμεν.

Πρῶτα μὲν οὖν ὀθόνας περιθέμενος ὁ ἱεράρχης λευ- 3
κὰς καὶ καταδήσας ἐπί τε τῶν χειρῶν καὶ τοῦ λοιποῦ σώματος τῷ θεῷ προσπίπτει κατακλιθείς, οὐ κατὰ ψιλοῦ τοῦ ἐδάφους, καὶ δεηθεὶς τὸ ζητούμενον πέρας λαβεῖν αὐτῷ τὴν σπουδὴν ἐπὶ τὸ ἔργον ἀνίσταται καὶ τὴν τράπεζαν κειμένην ἀνελόμενος καθιδρύει καὶ πήγνυσιν, οὐ κελεύων μόνον ἀλλὰ καὶ χεῖρας εἰσάγων. Τεθεῖσαν δὲ θερμοῖς 4
ἀποκλυσάμενος ὕδασιν, οἷς ηὔξατο μὴ ῥύπου φαινομένου μόνον, ἀλλὰ καὶ τῆς ἀπὸ τῶν δαιμόνων προστροπῆς καθάρσιον δύναμιν ἔχειν· εἶτα μυρίζει οἴνου τε χέων αὐτῇ τοῦ καλλίστου καὶ μύρου στακτοῦ ῥόδων οἶμαι πεποιημένου, μετὰ δὲ ταῦτα τὸ ἱερὸν μύρον ἐπάγει καὶ χρίει, τρίτον γράφων ἐπ' αὐτῆς τὸν σταυρὸν καὶ τῷ θεῷ τὸ προφητικὸν ᾄδων ᾆσμα τὸ πολυύμνητον. Εἶτα λευκῇ περικα- 5
λύψας ὀθόνῃ πέπλοις τε τιμίοις ἐπικοσμεῖ καὶ τούτοις ὀθόνας ἄλλας ἐφαπλοῖ, τῷ θείῳ μύρῳ τὸν τῆς τραπέζης τρόπον ἀληλιμμένας, ἃς ἐπιβεβλημένας ἔσχατον τῇ τραπέζῃ δεῖ τοῖς πίναξιν ἀμέσως ὑποκεῖσθαι τοῖς ἱεροῖς. Καὶ ταῦτα οὕτω τελέσας λύει μὲν καὶ περιδύεται τὰς ὀθόνας, αὐτὸς δὲ τὴν ἱεραρχικὴν ἔχων στολὴν ἐπί τινα γείτονα τῶν ἱερῶν ἔξεισιν οἴκων. Ὅθεν ἁγίων μαρτύρων ὀστᾶ λαβὼν εἰς 6
τοῦτ' αὐτῷ παρεσκευασμένα καὶ θεὶς ἐπὶ θατέρου τῶν ἐπὶ τοῦ θυσιαστηρίου πινάκων, ἐν ᾧ τὸ φρικτὸν τίθησι δῶρον καὶ καλύψας, οἷς ἐκεῖνο καλύπτει, μάλα τε σεμνῶς ἀναιρεῖται καὶ κομίσας ἐπὶ τῆς κεφαλῆς ἐπὶ τὸν ἁγιαζόμενον

3. Conf. Heineccium l. c. p. III, p. 129 sqq. — *ὀθόνας.* Isidor. Pelus. lib. I, ep. 136. *Ἡ ὀθόνη, μεθ' ἧς λειτουργοῦσιν ἐν τοῖς ἁγίοις οἱ διάκονοι, τὴν τοῦ κυρίου ἀναμιμνήσκει ταπείνωσιν, νίψαντος τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάξαντος.* Suicer. — *χεῖρας εἰσάγων.* Heinecc. l. c. p. 133.

4. *ῥόδων οἶμαι.* C. *ῥόδῳ.* — *ᾆσμα τὸ πολυύμνητον.* Jes. 6, 3.

6. *εἰς τοῦτ' αὐτῷ παρεσκ.* C. *αὐτό.* — *καὶ θυώμασι* om. B. — *μύροις τὴν πρόοδον.* C. *πρόσοδον.* — *πρὸ τῶν θύρων.* A. *πυλῶν.* — *Δαβὶδ-φωνάς.* Ps. 23, 7.

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος πέμπτος.

Τίνα συντέλειαν αὐτῇ παρέχεται ἡ καθιέρωσις τοῦ ἱεροῦ θυσιαστηρίου.

1 Τῶν μὲν ἱερῶν μυστηρίων οὗτος ὁ λόγος, καὶ ταύτην ἡμῖν ἔχει πρὸς τὴν ἀληθῆ ζωὴν τὴν παρασκευήν. Ἐπεὶ δὲ τὸ θυσιαστήριον πάσης ἐστὶν ἀρχὴ τελετῆς, ἄν τε δειπνεῖν ἄν τε χρίσμα δέῃ λαμβάνειν, καὶ μὴν καὶ ἱεράσασθαι καὶ τοῦ λουτροῦ τὰ τελεώτατα μετασχεῖν, εἴ τι καὶ αὐτὸ πρὸς τοῖς εἰρημένοις καὶ τὴν πηγνῦσαν αὐτὸ
2 τελετήν, ὡς οἷοί τέ ἐσμεν, θεωρήσομεν. Μὴ ἂν οἶμαι περίεργον οὐδὲν ποιῆσαι μηδὲ παρέλκον· τὸν λόγον μὲν οὖν τελεώτερον οὕτως ἂν εἴημεν ἀποδεδωκότες, ὡς ἂν περὶ τῆς τῶν μυστηρίων κρηπίδος ἢ ῥίζης ἢ ὅ τι καὶ χρὴ καλέσαι διεξελθόντες. Καὶ τοίνυν ἃ παρὰ τῶν τοῦ τελοῦντος χειρῶν γίνεται, καὶ ἃ τὸ θυσιαστήριον καθίστησιν, ἑξῆς ἐκτεθέν-

---

Liber quintus. *Τίνα — θυσιαστ.* Haec cod. B. inscriptio est. A. habet: *θεωρία εἰς τὸ κατὰ τὴν τῶν θείων ναῶν καθιέρωσιν μυστήριον.* C. *ὅτι καὶ τὸ θυσιαστήριον ἀναγκαῖον πρὸς ἀπαρτισμὸν τῶν θείων καὶ ἱερῶν μυστηρίων.* — Cod. Reg. Casauboni: *Περὶ τῆς ἐν Χριστῷ ζωῆς, ἢ περὶ τοῦ θυσιαστηρίου.* Vide de hoc libro in universum Proleg. sect. VIII.

1. *εἰρημένοις.* Scil. *παράσχοι* sive *συμφέροι.*

2. *καὶ ὅ τι φέρει.* A. *πρὸς ὅ τι.*

των ἁπάντων, ἕκαστον ἔπειτα τίνος ἐστὶν αἴνιγμα καὶ ὅ τι φέρει, σκοπῶμεν.

Πρῶτα μὲν οὖν ὀθόνας περιθέμενος ὁ ἱεράρχης λευκὰς καὶ καταδήσας ἐπί τε τῶν χειρῶν καὶ τοῦ λοιποῦ σώματος τῷ θεῷ προσπίπτει κατακλιθείς, οὐ κατὰ ψιλοῦ τοῦ ἐδάφους, καὶ δεηθεὶς τὸ ζητούμενον πέρας λαβεῖν αὐτῷ τὴν σπουδὴν ἐπὶ τὸ ἔργον ἀνίσταται καὶ τὴν τράπεζαν κειμένην ἀνελόμενος καθιδρύει καὶ πήγνυσιν, οὐ κελεύων μόνον ἀλλὰ καὶ χεῖρας εἰσάγων. Τεθεῖσαν δὲ θερμοῖς ἀποκλυσάμενος ὕδασιν, οἷς ηὔξατο μὴ ῥύπου φαινομένου μόνον, ἀλλὰ καὶ τῆς ἀπὸ τῶν δαιμόνων προστροπῆς καθάρσιον δύναμιν ἔχειν· εἶτα μυρίζει οἴνου τε χέων αὐτῇ τοῦ καλλίστου καὶ μύρου στακτοῦ ῥόδων οἶμαι πεποιημένου, μετὰ δὲ ταῦτα τὸ ἱερὸν μύρον ἐπάγει καὶ χρίει, τρίτον γράφων ἐπ' αὐτῆς τὸν σταυρὸν καὶ τῷ θεῷ τὸ προφητικὸν ᾄδων ᾆσμα τὸ πολυύμνητον. Εἶτα λευκῇ περικαλύψας ὀθόνῃ πέπλοις τε τιμίοις ἐπικοσμεῖ καὶ τούτοις ὀθόνας ἄλλας ἐφαπλοῖ, τῷ θείῳ μύρῳ τὸν τῆς τραπέζης τρόπον ἀληλιμμένας, ἃς ἐπιβεβλημένας ἔσχατον τῇ τραπέζῃ δεῖ τοῖς πίναξιν ἀμέσως ὑποκεῖσθαι τοῖς ἱεροῖς. Καὶ ταῦτα οὕτω τελέσας λύει μὲν καὶ περιδύεται τὰς ὀθόνας, αὐτὸς δὲ τὴν ἱεραρχικὴν ἔχων στολὴν ἐπί τινα γείτονα τῶν ἱερῶν ἔξεισιν οἴκων. Ὅθεν ἁγίων μαρτύρων ὀστᾶ λαβὼν εἰς τοῦτ' αὐτῷ παρεσκευασμένα καὶ θεὶς ἐπὶ θατέρου τῶν ἐπὶ τοῦ θυσιαστηρίου πινάκων, ἐν ᾧ τὸ φρικτὸν τίθησι δῶρον καὶ καλύψας, οἷς ἐκεῖνο καλύπτει, μίλλα τε σεμνῶς ἀναιρεῖται καὶ κομίσας ἐπὶ τῆς κεφαλῆς ἐπὶ τὸν ἁγιαζόμενον

3. Conf. Heineccium l. c. p. III, p. 129 sqq. — ὀθύνας. Isidor. Pelus. lib. I, ep. 136. Ἡ ὀθύνη, μεθ' ἧς λειτουργοῦσιν ἐν τοῖς ἁγίοις οἱ διάκονοι, τὴν τοῦ κυρίου ἀναμιμνήσκει ταπείνωσιν, νίψαντος τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάξαντος. Suicer. — χεῖρας εἰσάγων. Heinecc. l. c. p. 133.

4. ῥόδων οἶμαι. C. ῥόδῳ. — ᾆσμα τὸ πολυύμνητον. Jes. 6, 3.

6. εἰς τοῦτ' αὐτῷ παρεσκ. C. αὐτό. — καὶ θυώμασι om. B. — μύροις τὴν πρόοδον. C. πρόσοδον. — πρὸ τῶν θύρων. A. πυλῶν. — Δαβὶδ-φωνάς. Ps. 23, 7.

πρόεισιν οἶκον, λαμπάσι καὶ ἅσμασι καὶ θυώμασι καὶ μύροις τὴν πρόοδον πολλῶν κοσμούντων αὐτῷ, καὶ οὕτω χωρῶν, ἐπεὶ καταλάβοι τὸν νεὼν καὶ πρὸς αὐτῷ γένοιτο, ἵσταται μὲν πρὸ τῶν θυρῶν κεκλεισμένων, κελεύει δὲ τοῖς ἔνδον πυλῶν τὰς πύλας ἀνοίγειν τῷ τῆς δόξης βασιλεῖ, καὶ αὐτὰς τοῦ Δαβὶδ εἰπὼν τὰς φωνὰς καὶ παρὰ τῶν ἔνδον ἀκούσας, ἃς ἐκεῖνος τοὺς ἀγγέλους λέγοντας ἀλλήλοις εἰσάγει τοῦ σωτῆρος εἰς τὸν οὐρανὸν ἀνιόντος, τῶν θυρῶν ἀναπεταννυμένων εἴσεισι τὸ ἱερὸν, σκεῦος ἐκεῖνο συγκεκαλυμμένον
7 ἐπὶ τῆς κεφαλῆς ἔχων. Ἐπειδὰν δὲ εἴσω τοῦ θυσιαστηρίου καὶ πρὸς αὐτῇ γένηται τῇ τραπέζῃ, κατατίθεται μὲν ἐπ' αὐτῆς καὶ ἀνακαλύπτει, τὸν δ' ἐγκειμμένον αὐτῷ πλοῦτον ἀναιρεῖται μὲν ἐκεῖθεν, ἐντίθησι δὲ θησαυρῷ τῷ μεγέθει τῶν ἐντιθεμένων συμμέτρῳ, καὶ μετὰ τοῦτο τὸ μύρου αὐτοῖς τὸ παναγέστατον ἐπιχέας ὑπὸ τὴν τράπεζαν ἀποτίθε-
8 ται τὴν ἱεράν. Τούτων δὲ οὕτω κατεσκευασμένων ὁ μὲν οἶκος προσευχῆς οἶκος, ἡ τράπεζα δὲ πρὸς τὴν θυσίαν ἔχει καὶ παρεσκεύασται καὶ θυσιαστήριόν ἐστιν ἀτεχνῶς.

Τὸν δὲ λόγον, ἀνθ' ὅτου τούτων τελουμένων ἐκεῖνο γίνεται, καὶ τοῖς τῷ ἱερεῖ πεπραγμένοις τὸ τοιαῦτα δύνασθαι τὴν οἰκίαν καὶ τὴν τράπεζαν ἁπάντων, λέγωμεν ἤδη θεωροῦντες
9 ἕκαστα. Ἡ μὲν οὖν ἀναβολὴ καὶ τὸ οὕτως ἐσκευασμένον ἐπὶ τὴν τελετὴν ἀφῖχθαι τὸν ἱεράρχην, τοῦ κατὰ τὸν ἄνθρωπον θυσιαστηρίου γράφει τὸν τύπον· τὸ γὰρ πᾶσαν ἀπονιψάμενον πονηρίαν καὶ ὑπὲρ χιόνα λευκανθέντα Δαβὶδ εἶπε συνελεῖν ἑαυτὸν καὶ συμπτύξαι καὶ πρὸς ἑαυτὸν νεῦσαι τὸν ἄνθρωπον, θεὸν ἐνοικίζει καθαρῶς τῇ ψυχῇ
10 καὶ θυσιαστήριον ἐργάζεται τὴν καρδίαν. Τούτων γὰρ σημεῖα, τοῦ μὲν τὸ λευκὴν εἶναι καὶ λάμπουσαν αὐτῷ τὴν ἀναβολὴν, ἐκείνου δὲ τὸ πανταχόθεν πρὸς ἑαυτὸν ἐπ-

---

7. ἐπιχέας. C. mendose ἐπιχέσας. Idem mox ἀνατίθεται.
8. οὕτω κατεσκευασμένων. A. τετελεσμένων. — ἁπάντων. A. ἁπαντᾶν λέγω μέν.
9. γράφει τὸν τύπον. A. τόπον. Ad sequentia conf. Ps. 51, 4. 9.
10. πρὸς ἑαυτὸν ἐπεστρ. B. C. αὐτόν.

στρά φθαι καὶ συνεπτύχθαι τῷ σώματι· καὶ οὕτω δι' ὧν ἔξεστιν ἐν ἑαυτῷ πρὸ τοῦ τεμένους τὸ θυσιαστήριον δείξας, ἔπειτα τῷ τεμένει τὴν τελοῦσαν δίδωσι χεῖρα, μάλιστα μὲν ἐπεὶ καὶ τεχνῶν τοῖς προϊσταμένοις καὶ ὅλως ὁτιοῦν ἐργάζεσθαι δυναμένοις πρὸ τῶν χειρῶν ἐφ' ἑαυτοῦ συνέστησε τὸ ἔργον ὁ λογισμός· καὶ ὁ μὲν ὃ συνεστήσατο κανόνα ταῖς χερσὶν ἔδωκεν, αἱ δὲ ἐπὶ τῆς ὕλης ἔδειξαν. Καὶ μὴν καὶ ζωγράφους ἔστι μὲν πρὸς τὸν ἀρχέτυπον γρά- 11
φειν ἀπὸ τῶν πινάκων ποιουμένους τὴν τέχνην, ἔστι δὲ καὶ τῇ μνήμῃ τὰ τοιαῦτα χρωμένους καὶ πρὸς τὴν ψυχὴν ὁρῶντας παράδειγμα· καὶ οὐ ζωγράφοις τοῦτο μόνον, ἀλλ' ἤδη καὶ ἀνδριαντοποιοῖς καὶ οἰκιῶν ἐργάταις δημιουργοῖς ἅπασι συμβαῖνον ἴδοι τις ἄν. Καὶ τὴν τοῦ τεχνίτου 12
ψυχὴν ὀφθαλμοῖς ἰδεῖν, εἴ τις ἦν μηχανή, αὐτὴν ἂν εἶδες τὴν οἰκίαν ἢ τὸν ἀνδριάντα ἢ τῶν ἔργων ὁτιοῦν τῆς ὕλης χωρίς· ἔπειτα παράδειγμα τοῦ θυσιαστηρίου τὸν ἱεράρχην οὐ τοῦτο ποιεῖ μόνον, ὅτι τῶν τοιούτων αὐτὸς τεχνίτης, ἀλλ' ὅτι ναὸς εἶναι θεοῦ καὶ θυσιαστήριον ἀληθῶς μόνη τῶν ὁρωμένων ἡ τῶν ἀνθρώπων δύναται φύσις, ὡς τό γε χερσὶν ἀνθρώπων παγὲν εἰκόνα τούτου σώζει καὶ τύπον· ὅθεν ἔδει τὸ πρᾶγμα πρὸ τῆς εἰκόνος ἐν τῷ σχήματι τούτῳ φανῆναι καὶ τἀληθὲς τοῖς τύποις ἡγήσασθαι. Ὁ γὰρ εἰπὼν, „ποῖον οἶκον οἰκοδομήσετέ 13
μοι, ἐνοικήσω φησὶν ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω", σημαίνοι δ' ἂν οἶμαι κἀκεῖνο, ὡς τὸν βουλόμενον ἄλλοις ὄφελος εἶναι προσῆκε πρότερον ἑαυτῷ, καὶ τὸν ἀψύχοις δύναμιν ἐνθεῖναι τοσαύτην ἠξιωμένον ἑαυτῷ πρὸ ἐκείνων τὰ τοιαῦτα λυσιτελῆ καταστῆναι, καθάπερ καὶ τὸν ἐπίσκοπον Παῦλος ἠξίωσε πόλει καὶ δήμοις ἐσόμενον ἀγαθὸν ἀφ' ἑστίας ἄρξασθαι, καὶ τὸν οἰκήσοντα καλῶς τὴν οἰκίαν ἑαυτὸν κατὰ τὸν ὀρθὸν λόγον πρότερον ἀγαγεῖν. Δεῖται δὲ τοῦ 14

---

11. ἀλλ' ἤδη καὶ ἀνδριαντ. A. om. καί. συμβ. ἴδοι τις. C. ἤδη τις.
13. Ὁ γὰρ εἰπών. 2 Sam. 7, 5. — καὶ τ. οἰκήσοντα καλῶς. A. οἰκήσαντα. 1 Tim. 3, 2—5.

θεοῦ πρὸς τὸ ἔργον· καὶ γὰρ ἀνύσαι μὲν δύναιτ' ἂν οὐδεὶς μὴ τοῦ θεοῦ τυχὼν, οὐδὲ τῶν ἄλλων οὐδὲν μάλιστα δὲ τῶν μυστηρίων, ἐν οἷς τὸ πᾶν ἐκείνου καθαρῶς ἔργον.
15 Ἐπεὶ δὲ ὁ κοινὸς δεσπότης τῶν δούλων οὐκ ἐξ ἐπιτάγματος προὐνοήθη οὐδ' ἔπεμψε τοὺς ἐπιμελησομένους, ἀλλ' αὐτὸς ἦλθε καὶ πάντων δι' ὧν ἔδει σώσων αὐτουργὸς ἦν, τούτου χάριν τὸν ἱεράρχην τὸν ἐκείνου δεικνύντα μαθητὴν αὐτοχειρίᾳ πηγνῦναι τὸ θυσιαστήριον εἰκὸς ἦν, ὅθεν ἡμῖν αἱ πᾶσαι τῆς σωτηρίας εἰσὶν ἀφορμαὶ, καὶ ταῦτα ποιεῖ τὸν ψαλμὸν ἐκεῖνον ἐπὶ τοῦ στόματος ἔχων, „ὑψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου", ὃς εὐχαριστίαν ἔχει τῷ θεῷ
16 καὶ μνήμην τῶν αὐτοῦ θαυμασίων. Εἰ γὰρ ἐν παντὶ εὐχαριστεῖν ὁ τοῦ Παύλου κελεύει νόμος, πόσῳ δικαιότερον ἐπ' αὐτοῦ τοῦ κεφαλαίου τῶν ἀγαθῶν; Μετὰ δὲ τοῦτον ἄλλον ἐπισυνάπτει ψαλμὸν, „κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει"· ταῦτα δὲ οὐχ ἁπλῶς τὴν τοῦ θεοῦ φιλανθρωπίαν ὑμνεῖ, ἀλλ' αὐτῶν ἅπτεται τῶν παρόντων.
17 Καὶ γὰρ καὶ βαπτίσματος μέμνηται καὶ τῆς θείας ἀλοιφῆς καὶ τοῦ ποτηρίου καὶ τῆς φερούσης τὸν ἱερὸν ἄρτον τραπέζης, τὸ δὲ βάπτισμα καὶ ὕδωρ ἀναπαύσεως καὶ τόπον χλόης καλεῖ, καὶ ποιμαινόμενος ὑπὸ τοῦ θεου
18 καλῶς εἰς τοῦτο κατασκηνώσειν ἔσχατον ἔφη. Ἐπεὶ γὰρ ἡ ἁμαρτία καὶ πόνους τοῖς τολμῶσιν ἤνεγκε καὶ τὴν γῆν ἐνέπλησεν ἡμῖν ἀκανθῶν, τὸ τὴν ἁμαρτίαν ἐκβάλλον ὕδωρ πρὸς μὲν τοὺς πόνους ὕδωρ ἀναπαύσεως, πρὸς δὲ τὰς ἀκάνθας τόπος χλόης δικαίως οἶμαι καλεῖται, κατάλυμα δὲ τελευταῖον, ὅτι τὸ ἔσχατον ἀγαθὸν, ἐν ᾧ παυόμεθα
19 ζητοῦντες τὸν θεὸν, ἔστιν ἐνθαῦθα λαβεῖν. Εἴη δ' ἂν καὶ δι' ἐκεῖνον τὸν λόγον ἀναπαύσεως ὕδωρ, ὅτι τῆς φύσεως

---

15. *δι' ὧν ἔδει σώσων.* A. ἤδει. — *ὑψώσω σε.* Ps. 144, 1.
16. *κύριος ποιμαίνει.* Ps. 23, 1.
17. *Καὶ γὰρ καὶ βαπτ.* A om. alterum *καί.*
18. *Ἐπεὶ γὰρ ἡ ἁμ.* Deest *γάρ* in C. — *κατάλυμα — τελευταῖον.* Vide supra lib. I, §. 25. 27.

τὴν ἐπιθυμίαν ἀνέπαυσεν, ὃ πολλοὶ προφῆται καὶ βασιλεῖς 20
φησιν ἰδεῖν ἐπεθύμουν. Τί δὲ προσπίπτοντα τῷ θεῷ καὶ
προσευχόμενον τὸ τοῦ τελιένους ἔδαφος οὐ δέχεται τὸν
ἱεράρχην ἀμιέσως, ἢ τὴν τελετὴν ἔτι μὴ δεδεγμιένον οὐδέπω
πρὸς τὴν τελετὴν ἥρμιοσται, καὶ μήπω προσευχῆς γενόμιενος
οἶκος πῶς ἂν λάβοι καθαρῶς τὸν εὐχόμιενον; Ἐπεὶ καὶ 21
τοὐναυτίον τὸν Μωσέα τῆς ἁγίας ἐπιβαίνειν μέλλοντα γῆς
τὸ ὑπόδημια ἐχρῆν ὑπολῦσαι, κομίζοντα πρὸς τὴν ὁμιλίαν
μέσον οὐδέν· ὥσπερ καὶ τὸν τηνικαῦτα τῷ θεῷ προσκεί-
μενον δῆμιον τῶν Ἑβραίων τὴν ἐν Αἰγύπτῳ γῆν μετὰ τῶν
ὑποδημιάτων ἔδει πατεῖν. Οὕτω δὲ δράσας ὕδασιν ἔπειτα
σμήχει τράπεζαν ἱεροῖς. Ἐπεὶ γὰρ τὸν τῶν ὁρωμιένων δε- 22
σπότην τὸν ἄνθρωπον ὁ κοινὸς δουλωσάμιενος τύραννος
ἔπειτα τοῖς αἰσθητοῖς ἐνέσκηψε πᾶσι, καθάπερ βασιλείοις
τοῦ βασιλέως πεσόντος, διὰ ταῦτα ταῖς παραλαμβανο-
μέναις ἐντεῦθεν ὕλαις ἐφ' ἑκάστου τῶν μυστηρίων
ἀνάγκη τινὸς καθαρσίου κατὰ τοῦ πονηροῦ δυναμιένου.
Καθάπερ καὶ τὸ ὕδωρ, καθ' οὗ δεῖ τελοῦντα βα- 23
πτίζειν, τῆς τῶν δαιμιόνων ἐπηρείας ἁπάσης εὐχαῖς
καθάρας ὁ ἱερεύς, οὕτω τὴν τελοῦσαν ἐπιλέγει φω-
νὴν, κατὰ τὸν αὐτὸν δὴ τὴν τράπεζαν λόγον ἀλεξικάκοις
ἀποκλύζει πρότερον ὕδασι, καὶ ἅμια τὸν τρόπον ὑποδει-
κνὺς, ὅπως δεῖ πρὸς τἀγαθὸν τρέχειν, ὅπερ ἐστὶν ἐκκλίνειν
ἀπὸ τοῦ κακοῦ πρότερον· οὗ χάριν καὶ τὸν ἐπὶ κακοῖς
ἀνθρωπίνοις ἠσμιένον ᾄδει ψαλμιὸν ταῦτα τελῶν· „ῥαντιεῖς
με λέγων ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ

---

21. *τὸν Μωσέα.* A. *Μωσέαν.* Exod. 3, 5.

23. *ἐκκλίνειν ἀπὸ τοῦ κακοῦ.* A om. *τοῦ.* — *ἀλεξικάκοις.* Eust. Op. p. 41, 20. 273, 60. Martyres dicuntur *ἀλεξίκακοι καὶ ἰατροί* ap. Theodoret. vol. IV, p. 915. Nonnus in Joh. 7, 38. aquas regenerationis vocat *ὕδατα ἀλεξίκακα.* Hoc loco aqua lustralis et rite consecrata. *ὕδωρ καθάρσιον* vel *ἡγιασμένον*, significatur. — *ῥαντιεῖς με.* Ps. 51, 9.

ὑπὲρ χιόνα λευκανθήσομαι“· καὶ μετὰ τοῦτο τῷ θεῷ χάριν ἀποδίδωσι καὶ γεραίρει. Καὶ τοῦτο καθ' ἕκαστον
24 τῶν τελουμένων. Πάντα γὰρ δέον εἰς δόξαν θεοῦ ποιεῖν, τὰ μυστήρια μάλιστα πάντων, ὅσῳ καὶ πάντων λυσιστελέστερα καὶ θεοῦ μόνου. Ἐπεὶ δὲ πρὸ τῶν θείων χαρίτων οὐ καθαίρεσθαι μόνον, ἀλλὰ καὶ τὰς συστοίχους αὐταῖς ἀρετάς, ὡς οἷόί τέ ἐσμεν, ἐπιδείκνυσθαι χρή, ὡς οὐκ ἐνὸν ἄλλως τυγχάνειν τοῦ χορηγοῦ τῶν τοιούτων,
25 — ὁ γὰρ θεὸς εὐχὴν δίδωσιν οὐ τοῖς καθεύδουσιν, ἀλλὰ τῷ εὐχομένῳ, καὶ τὸν ἀγωνιζόμενον ἀλείφει καὶ σωφροσύνης δίδωσι χάρισμα τῷ δι' ὧν ἔξεστι σωφρονοῦντι, καὶ ὅλως πανταχοῦ τὴν πρὸς τὸ ζητούμενον ἐπιθυμίαν οὐχ οἷς εὐχόμεθα μόνον, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν
26 ἔργων δεικνύναι χρή· — διὰ τοῦτο πρὸ τοῦ θειοτάτου μύρου, ὃ τῷ θυσιαστηρίῳ τὴν ἐκ θεοῦ χάριν οἷδε κομίζειν, τοῖς παρ' ἡμῖν εὐώδεσι μυρίζει τὴν τράπεζαν οἴνῳ καὶ μύρῳ, ὧν τὸ μὲν ἡμῖν τέρψιν ἔχει μόνον, τὸ δὲ καὶ τῇ ζωῇ βοηθεῖ, ἵνα δείξῃ τἀνθρώπινα εἰσενεγκὼν ἅπαντα ὅτι τούτων ἡμῖν τὸν βίον ἅπαντα συμπληρούντων, τῶν τε πρὸς τὸ ζῆν ἀναγκαίων καὶ τῶν ἡδέων, ἀμφοτέρων ἀπάρχεται, ἐπεὶ κἀκεῖνος ἐλθὼν καὶ ζωὴν ἔδωκε καὶ περισσὸν προσέθηκεν, οὐκ ἀναστήσας μόνον καὶ λύσας ἀλλὰ καὶ βασιλεύσας, καὶ τῆς ἀκηράτου τρυφῆς ἡμῖν μεταδοὺς τούτοις ἐπιφέρει τὸ μύρον, ὃ πᾶσαν τῇ τελετῇ τὴν δύναμιν
27 ἔχον ἐπ' αὐτὴν τὴν θυσίαν ἄντικρυς φέρει. Ἐπεὶ γὰρ τοῖς δυσὶ τούτοις αὐτὴν ἐτέλεσεν ὁ σωτὴρ ἐξ ἀρχῆς, „λαβὼν φησι τὸν ἄρτον καὶ εὐλογήσας τὴν χεῖρα“, ζητοῦμεν

---

24. *χαρ. οὐ καθαίρεσθαι μόνον.* C. *καθαίρεσιν.* — *ὡς οὐκ ἐνόν.* C. *οὐ κενόν.*

25. *τῷ δι' ὧν ἔξεστι.* B. *δι' ᾧ.*

26. *ἐπιφέρει τὸ μύρον.* Sic A. B., C. h. *τὸ μυστήριον.*

27. *τὴν δὲ χεῖρα.* C. *τὴν χεῖρα.* Luc. 22, 19. 21. cum parall. — *καὶ γὰρ αὐτό φησιν.* Conf. Dionys. Hierarch. eccl. p. 335. 39.

; εὐχὰς τὴν οἰκίαν παρασκευάσοι, λύχνον ἐπὶ τὸ θυσια-
ριον ἅψας ἔξεισι, πρῶτον μὲν δεικνὺς τὸν τῆς θυσίας
αι καιρὸν, πηνίκα τὴν ἀρχὴν ἐξεδόθη. Καὶ γὰρ περὶ 36
ἑσπέραν καὶ τὰς τῶν λύχνων ἁφὰς ἔπειτα ὡς ἐν οἰ-
τοῦ τὴν δραχμὴν ἀπολωλεκότος ὁ λύχνος οὗτος ἐκεῖ-
ἡμῖν εἰσάγει τῇ μνήμῃ τὸν λύχνον, ὃν ἅψας καὶ
ήσας τὴν πολλῇ γῇ καὶ σκότῳ συγκεκαλυμμένην εὗρε
χμὴν, ὡς ἂν ὑπὸ γῆν ἐν Ἅιδου κειμένην, — τοῦτο γὰρ
αι δύναται τὸ σαρῶσαι τὴν οἰκίαν τὸ πάντα ἀνακα-
ναι καὶ ὑπὸ τὸ φῶς ἀγαγεῖν, — ὃς καὶ τὸν Ἅιδην φωτὸς
πλησεν εἰσελθών. [Χρίει δὲ τὸν οἶκον ἅπαντα τῷ μύρῳ 37
ιῶν, ἵνα προσευχῆς οἶκον αὐτὸν ἐργάσηται καὶ τοῦ-
α ἐνεργὸν ἔχῃ καὶ πρὸς τὰς εὐχὰς ἡμῖν βοηθῇ. Ἡ
ῃ πρὸς τὸν θεὸν τῶν ἀνθρώπων παρουσία καὶ τὸ κατ-
ύνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα τὸ μύρον ἐστὶ
ἐκκενωθὲν, ὁ σωτὴρ παράκλητος ἡμῖν γενόμενος πρὸς
θεὸν καὶ μεσίτης· ἐπεὶ γὰρ μονογενὴς ὢν αὐτὸς ἑαυ-
εἰς τοὺς δούλους ἐξέχεεν, εἰκότως ὁ πατὴρ διήλλακται
ἥμερον εἰς ἡμᾶς βλέπει καὶ προσιόντας προσίεται, ὡς
αὐτὸν εὑρίσκων ἐν ἡμῖν τὸν υἱὸν τὸν ἀγαπητόν. Ὅθεν 38
λουθον ἦν, εἰς τὴν οἰκίαν, ἐν ᾗ τὸν θεὸν καλοῦμεν
προσευχῆς ἐκκενωθῆναι μύρου, ἵνα τὸν αὐτόθι καλού-
ον θεὸν εἰς ἑαυτὴν ἐπιστρέφῃ, καὶ κατὰ τὴν τοῦ Σολομῶ-
εὐχὴν οἱ ὀφθαλμοὶ αὐτοῦ νυκτὸς καὶ ἡμέρας εἰς τὸν οἶ-
τοῦτον ὦσιν ἀνεωγμένοι· ἄλλως τε ναὸν θεοῦ καλού- 39
ον, ἵνα πρὸς τὸν ἀληθῆ ναὸν ἀναφέρῃ καὶ πρὸς ἐκεῖνον
τι κοινὸν, ἔδει καθάπερ ἐκεῖνος ἐχρίσθη τῇ θεότητι, τὸν

. *λύχνον ἐπὶ τὸ θυσ.* A. *ὑπὲρ τυ.*

. *ἐνέπλησεν εἰσελθών.* **Hic finis est libri in duobus codicibus B. et C. Sed in cod. A. fol. 143, b. proxima** *χρίει δὲ κτλ.* **sequuntur, alia manu, ut videtur, et nigriore colore scripta, quae tamen cum antecedentibus bene cohaerent.**

. *ἐργαστήριον.* **Confer. lib. I, §. 4. —** *Σολομῶνος εὐχήν.* **1 Reg. 8, 29.**

νου εὐεργέτην ἐπ' αὐτῶν οἶδε τῶν ἔργων, οὔτε εὔχεται οὐδὲν τῶν ἐν ταῖς εὐχαῖς αὐτῷ προκεχωρηκότων, οὔτε καταλέγει τὰ τῆς φιλανθρωπίας ἑστῶτα πρὸ τῶν ὀφθαλμῶν, ἀλ-
32 λὰ τοῦτο μόνον ἀγάλλει τῷ μέλει τῷ μυστικῷ. Ὅτι δ' ἡ τοῦ θυσιαστηρίου δύναμις τὸ μύρον ἐστὶν, ἐχρῆν τῇ δυνάμει ταύτῃ καὶ τὴν ὑποκειμένην ὕλην οἰκείως ἔχειν· δρᾶσαι γὰρ ἂν οὕτω βέλτιον ὥσπερ καὶ πῦρ καὶ φῶς διὰ τῶν ἐπιτηδείων οἶμαι σωμάτων, ἐπεὶ καὶ τοὔνομα αὐτὸ τοῦ σωτῆρος, ὃ πάντα ἐδύνατο καλούμενον, οὐκ ἐν τοῖς ἁπάντων στόμασι τὴν ἰσχὺν ὁμοίως ἐπεδείκνυτο τὴν αὐτοῦ· καὶ τοίνυν ζητήσας, ὅ τι ἂν τῶν σωμάτων κατάλληλον ὁ τελεστὴς ὑποθείη τῷ μύρῳ, τῶν μαρτυρικῶν ὀστέων ὃ προσήκει μᾶλλον εὗρεν οὐδέν, καὶ ταῦτα μυρίσας καὶ ἀληλιμμένα τῇ τραπέ-
33 ζῃ προσθεὶς τὸ θυσιαστήριον ἀπαρτίζει. Μαρτύρων γὰρ συγγενέστερον τοῖς τοῦ Χριστοῦ μυστηρίοις οὐδὲν, οἷς πρὸς αὐτὸν τὸν Χριστὸν καὶ σῶμα καὶ πνεῦμα καὶ θανάτου σχῆμα καὶ πάντα κοινά, ὃς καὶ ζῶσι συνῆν καὶ τελευτώντων τοὺς νεκροὺς οὐκ ἀπολιμπάνει, ἀλλὰ ταῖς ψυχαῖς ἡνωμένος ἔστιν ὅπως καὶ τῇ κωφῇ ταύτῃ σύνεστι καὶ ἀναμέμικται κόνει, καὶ εἴ που τῶν ὁρωμένων τούτων ἔστιν εὑρεῖν τὸν σωτῆρα καὶ κατασχεῖν, ἐπὶ τῶν ὀστέων ἔξεστι
34 τούτων. Διὰ ταῦτα πρὸς τῷ νεῷ γενόμενος ἐκείναις ταῖς φωναῖς αὐτοῖς ἀνοίγει τὰς πύλας, αἷς ἂν εἰ τὸν Χριστὸν εἰσῆγεν αὐτὸν, καὶ τἄλλα δὲ παραπλησίως τοῖς ἱεροῖς ἐτίμησε δώροις· ἄλλως τε θεοῦ μὲν νεὼς ἀληθὴς καὶ θυσιαστήριον τὰ ὀστᾶ ταῦτα, ὁ δὲ χειροποιητὸς οὗτος τἀληθοῦς μίμημα. Οὐκοῦν εἰκὸς ἦν τοῦτον ἐκείνῳ προστεθῆναι καὶ πρὸς τὴν τελείωσιν ἐκείνου τοῦτον εἰλῆφθαι, καθάπερ τῶν νόμιων τοῦ παλαιοῦ τὸν καινόν.

35 Ἐπεὶ δὲ πάντα ἤδη τελέσοι καὶ πρὸς τὴν θυσίαν καὶ

---

32. *ὁ τελεστὴς ὑποθείη.* A. *ὑποτεθείη.* — *το θυσιαστήριον ἀπαρτ.* C. *τὸ μυστήριον.* — *μαρτυρικῶν ὀστέων.* Heinecc. l. c. p. 132.

33. *ἀναμέμικται κόνει.* A. *ἀναμίγνυται.*

34. *νεῷ γενόμενος.* B. add. *εἰσάγειν δεῆσαν.* C. *εἰσαγαγεῖν δεῆσαν.*

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος ἕκτος.

Πῶς αὐτὴν ἀπὸ τῶν μυστηρίων λαβόντες φυλάξομεν.

Ἃ μὲν οὖν τῆς ἐν Χριστῷ ζωῆς εἰς αὐτὸν τὸν Χρι- 1
στὸν ἀναφέρει καὶ ὧν ἐκείνῳ μόνῳ προσῆκε, ταῦτά ἐστιν. Ἐπεὶ δὲ τὸ μὲν συστῆναι τὴν ζωὴν ἐξ ἀρχῆς τῆς τοῦ σωτῆρος χειρὸς ἐξήρτηται μόνης, τό γε μὴν φυλάξαι παγεῖσαν καὶ μεῖναι ζῶντας καὶ τῆς ἡμετέρας ἔργον σπουδῆς, ἀνάγκη δὲ καὶ τῶν ἀνθρωπίνων ἐνταῦθα καὶ τοῦ παρ' ἡμῶν συντελοῦντος, ὥστε μὴ διαφθεῖραι λαβόντας, ἀλλὰ διὰ τέλους σῶσαι τὴν χάριν καὶ τὸν θησαυρὸν ἐνδένδεν ἐν χεροῖν ἔχοντας ἀπελθεῖν καὶ ταῦτα σκοπεῖν, δι' ὧν ἔξεστιν ἀνύσαι, λοιπὸν ἂν εἴη τῷ νῦν ἀγῶνι. Καὶ τοῦ περὶ τῆς ζωῆς 2
ἡμῖν λόγου γένοιτ' ἂν καὶ τοῦτο μέρος εἰκότως. Καθάπερ γὰρ ἐπὶ τῶν πραγμάτων αὐτῶν εἰκός ἐστι καὶ συμβαῖνον, τὴν ζωὴν οὐκ ἀγαπᾷν δεξαμένους οὐδὲ καθεύδειν, ὡς ἂν τὸ πᾶν ἔχοντας, ἀλλὰ καὶ δι' ὧν φυλάξομεν, προσῆκε ζητεῖν, τὸν ἴσον τρόπον κἂν τοῖς περὶ τῶν προτέρων τοὺς

Liber sextus. Cod. Reg. Casaub. haec habet: *Περὶ τῆς ἐν Χριστῷ ζωῆς, ἃ ποιοῦντες οἱ μεμυημένοι δυνήσονται φυλάττειν αὐτήν.* **Inscriptio in tribus codd. eadem reperitur. In cod. A. hic liber quintus est fol. 65.**

2. *κἂν τοῖς λόγοις — ἴχοι.* **A.** — **B.** *καὶ τοῖς.* **C.** *καὶ ἐν τοῖς.*

ἶσον τρόπον καὶ αὐτὸν γενέσθαι Χριστὸν τῷ μύρῳ ἀληλιμμένον. Λέγω δὲ ναὸν ἀληθὴ τοῦ θεοῦ τὸ πανάγιον αὐτου σῶμα, ὥσπερ αὐτὸς ἐκάλεσεν αὐτὸ, „λύσατε λέγων τὸν ναὸν τοῦτον.“]

---

39. *λέγων τὸν ναὸν τοῦτον.* Joh. 2, 19. — Sequitur deinceps in eodem codice fol. 144 a. usque ad fol. 146 a. brevis quaedam de libero arbitrio et praedestinatione disputatio tertia manu exarata. Quae tamen, quum ab hac materia plane aliena et aliunde huc translata sit, in ultimo hujus libri loco tanquam appendix collocanda erat.

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος ἕκτος.

Πῶς αὐτὴν ἀπὸ τῶν μυστηρίων λαβόντες φυλάξομεν.

Ἃ μὲν οὖν τῆς ἐν Χριστῷ ζωῆς εἰς αὐτὸν τὸν Χρι- 1
στὸν ἀναφέρει καὶ ὧν ἐκείνῳ μόνῳ προσῆκε, ταῦτά ἐστιν. Ἐπεὶ δὲ τὸ μὲν συστῆναι τὴν ζωὴν ἐξ ἀρχῆς τῆς τοῦ σωτῆρος χειρὸς ἐξήρτηται μόνης, τό γε μὴν φυλάξαι παγεῖσαν καὶ μεῖναι ζῶντας καὶ τῆς ἡμετέρας ἔργον σπουδῆς, ἀνάγκη δὲ καὶ τῶν ἀνθρωπίνων ἐνταῦθα καὶ τοῦ παρ' ἡμῶν συντελοῦντος, ὥστε μὴ διαφθεῖραι λαβόντας, ἀλλὰ διὰ τέλους σῶσαι τὴν χάριν καὶ τὸν θησαυρὸν ἐνθένδεν ἐν χεροῖν ἔχοντας ἀπελθεῖν καὶ ταῦτα σκοπεῖν, δι' ὧν ἔξεστιν ἀνύσαι, λοιπὸν ἂν εἴη τῷ νῦν ἀγῶνι. Καὶ τοῦ περὶ τῆς ζωῆς 2
ἡμῖν λόγου γένοιτ' ἂν καὶ τοῦτο μέρος εἰκότως. Καθάπερ γὰρ ἐπὶ τῶν πραγμάτων αὐτῶν εἰκός ἐστι καὶ συμβαῖνον, τὴν ζωὴν οὐκ ἀγαπᾷν δεξαμένους οὐδὲ καθεύδειν, ὡς ἂν τὸ πᾶν ἔχοντας, ἀλλὰ καὶ δι' ὧν φυλάξομεν, προσῆκε ζητεῖν, τὸν ἴσον τρόπον κἂν τοῖς περὶ τῶν προτέρων τοὺς

Liber sextus. Cod. Reg. Casaub. haec habet: *Περὶ τῆς ἐν Χριστῷ ζωῆς, ἃ ποιοῦντες οἱ μεμνημένοι δυνήσονται φυλάττειν αὐτήν.* Inscriptio in tribus codd. eadem reperitur. In cod. A. hic liber quintus est fol. 65.

2. *κἂν τοῖς λόγοις — ἴχοι.* A. — B. *καὶ τοῖς.* C. *καὶ ἐν τοῖς.*

περὶ τῶν δευτέρων προσθεῖναι, καὶ ὅθεν ἐζήσαμεν καὶ ὅπως καὶ τί παθόντες εἰπόντας, ἔπειτα τί ποιοῦντες οὐ προδώσομεν τὴν εὐδαιμονίαν, ἀκόλουθον ἂν εἴη διεξελθεῖν.

3 Καίτοι τοῦτο μέν ἐστιν ἀρετὴ καὶ τὸ ζῆν κατὰ τὸν ὀρθὸν λόγον· τούτων δὲ πέρι πολλοῖς μὲν εἴρηται τῶν ἀρχαίων, πολλοῖς δὲ τῶν ἔπειτα, καὶ οὐκ ἔστιν ὃ παρεῖται δέον εἰρῆσθαι, καὶ κινδυνεύει δὴ περίεργον ἂν ἡμῖν τὸν
4 ἀγῶνα τοῦτον ἠνύσθαι. Ἐπεὶ δ' ὧν ἐξ ἀρχῆς ἐνεστησάμεθα καὶ τὸ περὶ τούτων εἰπεῖν ἀπαιτούντων, εἰ μὴν προσθεῖμεν, οὐκ ἔστι σῶν εἶναι τὸν λόγον, ῥητέον ὡς οἷόν τε, ἃ μὲν ἴδια τῶν ἀνθρωπίνων βίων ἑκάστῳ προσῆκε πολλῶν ὄντων παραλιπόντας, ὧν δ' ὑπόχρεω κοινῇ τῷ θεῷ καθέ-
5 σταμεν πάντες, ταῦτα σκοποῦντας. Οὔτε γὰρ τὴν αὐτὴν ἀρετὴν εἴποι τις ἂν εἶναι δεῖν τῶν τε τὰ κοινὰ πολιτευομένων, καὶ οἳ τὰ αὑτῶν πράττουσιν, οὔτε τὸν μετὰ τὸ λουτρὸν τῷ θεῷ μηδὲν πλέον ὑπεσχημένων, καὶ οἷς ὁ βίος μονώτης, οἳ παρθενίαν προυστήσαντο καὶ τὸ μηδὲν ἔχειν, καὶ μὴ μόνου ἄλλου του κτήματος ἀλλ' οὐδ' αὐτοὶ σφῶν
6 αὐτῶν εἶναι κύριοι. Ὃ δὲ κοινόν ἐστιν ἅπασι χρέος τοῖς ἀπὸ Χριστοῦ καλουμένοις, ὥσπερ αὐτὸ δὴ τὸ πρόσρημα, καὶ δεῖ πάντας ὁμοίως εἰσενεγκεῖν, ὑπὲρ οὗ πᾶν ὁτιοῦν προϊσχομένους οὐκ ἔστι παραιτήσασθαι τοὺς ἀπολιπομένους οὐ τὴν ἡλικίαν, οὐ τέχνην, οὐ τύχην οὐδ' ἡντινοῦν, οὐ τὴν ἐσχατιὰν, οὐ τὴν ἐρημίαν, οὐ τὰς πόλεις, οὐ τοὺς θορύβους, οὐκ ἄλλο τῶν πάντων οὐδὲ ἕν, ἐφ' ἃ συμβέβηκεν ἐγκαλουμένους ἀναχωρεῖν, ὡς οὐδενὸς αὐτῷ προϊστασθαι δυναμένου καὶ πᾶσιν ἐξὸν, τῇ τοῦ Χριστοῦ θε-

---

4. ἐξ ἀρχῆς ἐνεστησάμεθα. C. ἀνιστησάμεθα. — ῥητέον ὡς. C. interponit δέ.

5. οὔτε τῶν μετὰ τὸ λ. Ita legendum, quamquam libri mss. h. τόν. Paullo ante B. C. τὰ αὐτῶν pro αὑτῶν. — οἷς ὁ βίος μονώτης. Sic A. B., C. perperam μονότης.

6. ὁ δὲ κοινόν. Cod. B. scholion in marg. inferiori: Ὅτι ἡ τῶν θείων ἐντολῶν ἐργασία τὴν ἀπὸ τῶν μυστηρίων χάριν ἐν ἡμῖν συντηρεῖ, καὶ ταύτης χωρὶς ἀδύνατον ἐν Χριστῷ ζῆν.

λήσει μὴ πολεμεῖν, ἀλλὰ τοὺς ἐκεῖθεν ἐκ παντὸς τρόπου σώζοντας νόμους πρὸς τἀκείνῳ δοκοῦντα διατιθέναι τὸν βίον. Ταῦτα γὰρ οὔτε κρείττῳ δυνάμεως ἀνθρωπείας ἔστιν 7
εἰπεῖν, οὐ γὰρ ἂν τοῖς παρανομοῦσιν ἐκεῖτο δίκη, τῶν τε
Χριστιανῶν οὐκ ἔστιν οὐδείς, ὃς οὐκ εἰς ἔργον ἅπαντα
ἀγαγεῖν ἑαυτῷ σύνοιδεν ὑπόχρεως ὤν. Οἵ γε τὴν ἀρχὴν
αὐτῷ προσιόντες ἢ μὴν διὰ πάντων ἀκολουθήσειν ηὔξαντο
πάντες ὁμοίως καὶ ταύταις ταῖς συνθήκαις δήσαντες ἑαυ-
τοὺς οὕτω μετέσχον τῶν ἱερῶν. Οὕτω δ' ὄντα κοινὰ πᾶσιν 8
ὀφλήματα τὰ τοῦ σωτῆρος ἐπιτάγματα τοῖς πιστοῖς καὶ
δυνατὰ τοῖς βουλομένοις ἀνύσαι καὶ σφόδρα τῶν ἀναγ-
καίων, καὶ ὧν χωρὶς οὐκ ἂν γένοιτο Χριστῷ συνελθεῖν
τῷ πλείστῳ καὶ καλλίστῳ μέρει διεστηκότας, τῇ θελήσει
καὶ τοῖς βουλήμασιν. Ἀνάγκη γὰρ κοινωνῆσαι 9
γνώμης, ὧ κοινωνοῦμεν αἱμάτων, καὶ τὰ μὲν συνη-
μμένους τὰ δὲ διῃρημένους οὕτω μὲν φιλεῖν, ἐκείνως δὲ
πολεμεῖν, καὶ τέκνα μὲν εἶναι μωμητὰ δὲ, καὶ μέλη μὲν
ἀλλὰ νεκρὰ, οἷς ὄφελος οὐδὲν τὸ συμφῦναι καὶ γεννηθῆ-
ναι, καθάπερ τὸ κλῆμα τῆς ἀληθινῆς ἀμπέλου διαιρεθεῖσιν,
οὗ τέλος ἔξω βληθῆναι καὶ ξηρανθῆναι καὶ προσριφῆναι
πυρί. Διὰ ταῦτα τὸν ἐν Χριστῷ ζῆν προῃρημένον ἀκόλου- 10
θον μὲν τῆς καρδίας καὶ τῆς κεφαλῆς ἐκείνης ἐξῆφθαι,
— οὐ γὰρ ἐτέρωθεν ἡμῖν ἡ ζωὴ, — τοῦτο δὲ οὐκ ἐξὸν
δυνηθῆναι μὴ τὰ αὐτὰ βουλομένους· ἀνάγκη πρὸς τὴν τοῦ
Χριστοῦ θέλησιν τὴν γνώμην, καθόσον οἷόν τε ἀνθρώποις,
ἀσκῆσαι καὶ τῶν αὐτῶν ἐπιθυμεῖν καὶ τοῖς αὐτοῖς ἐκείνῳ
χαίρειν παρασκευάσαι. Τὰς γὰρ ἐναντίας ἐπιθυμίας μιᾶς
ἀνίσχειν καρδίας τῶν ἀμηχάνων. Ὁ γὰρ πονηρὸς ἄνθρω- 11
πος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας οὐδὲν ἄλλο

---

8. *τὰ τοῦ σωτῆρος ἐπιτάγματα.* A. om. *τά.*
9. *ἔξω βληθῆναι.* Haec in C. statim sequitur *πυρί* reliquis omissis. Idem cod. post pauca h. *προειρημένον.*
11. *ἐκ τοῦ πονηροῦ.* C. om. *θησαυροῦ.* Luc. 6, 45. — *τοῖς ἐν Παλ. πιστοῖς.* Act. 4, 32. — *πρὸς παλινῳδίαν ἐξάχοι,* „si

φησὶ προφέρειν οἶδεν ἢ πονηρὸν, καὶ ὁ ἀγαθὸς ἀγαθόν· καὶ καθάπερ τοῖς ἐν Παλαιστίνῃ πιστοῖς, ὅτι τῶν αὐτῶν ἐπεθύμουν, „ἦν ἡ καρδία φησὶ καὶ ἡ ψυχὴ μία“, τὸν ἴσον τρόπον, εἴ τις τῷ Χριστῷ μὴ κοινωνὸς εἴη τῆς γνώμης, ἀλλ' οἷς ἐκεῖνος ἐπιτάττει πρὸς παλινωδίαν ἐξάγοι, τὴν ἑαυτοῦ ζωὴν οὐ πρὸς τὴν αὐτὴν ἐκείνῳ τάττει καρδίαν, ἀλλὰ δῆλός ἐστι καρδίας ἐξηρτημένος ἑτέρας, ἐπεὶ καὶ τοὐναντίον κατὰ τὴν ἑαυτοῦ καρδίαν εὗρε τὸν Δαβὶδ, ὅτι
12 „τὰς ἐντολάς σού φησιν οὐκ ἐπελαθόμην.“ Εἰ δὲ ζῆν μὲν οὐκ ἔστι μὴ τῆς καρδίας ἐξηρτημένους ἐκείνης, ἐξηρτῆσθαι δὲ οὐκ ἂν εἴη μὴ τὰ αὐτὰ βουλομένους, ἵνα ζῆν δυνηθῶμεν, σκοπῶμεν ὅπως τῶν αὐτῶν ἐρᾷν τῷ Χριστῷ καὶ τοῖς αὐτοῖς ἐκείνῳ δυνησόμεθα χαίρειν.

13 Ἔστι τοίνυν πράξεως μὲν ἐπιθυμία πάσης ἀρχὴ, ἐπιθυμίας δὲ λογισμός· οὐκοῦν πειρατέον πρόγε πάντων, τῶν ματαίων ἀπάγειν τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἐννοιῶν ἀγαθῶν μεστὴν ἔχοντας ἑκάστοτε τὴν καρδίαν, ὥστε μηδαμοῦ κενὴν οὖσαν χώραν εἶναι ταῖς πονηραῖς.
14 Πολλῶν δὲ ὄντων, ἃ μελέτης ὕλην καὶ ψυχῆς ἔργον καὶ νοῦ τρυφὴν καὶ διατριβὴν ποιεῖσθαι προσῆκε, τὸ πάντων ἥδιστον καὶ λυσιτελέστατον καὶ φθέγξασθαι καὶ λογίσασθαι, τῶν μυστηρίων ὁ λόγος καὶ ὃν ἐνθένδεν ἔσχομεν

---

iis, quae ille jusserit, adversum infestumque animum opponat.“ — Ad sequentia conf. Ps. 119, 16. 83. 93. 141.

12. τὰ αὐτὰ βουλομένους. A. αὐτοῦ.

13. ταῖς πονηραῖς. B. τοῖς πονηροῖς. Ibidem Schol. *Ὅτι τὸ τὰ τοῦ Χριστοῦ μελετᾶν ἀεὶ καὶ στρέφειν ἐν τῇ ψυχῇ τῆς ἐργασίας τῶν ἐντολῶν αἴτιον καὶ ἀρχὴ γίνεται, καὶ περὶ τῆς τοιαύτης μελέτης.*

14. καὶ νοῦ τρυφήν. C. τροφήν. Hunc locum §. 14—17 apud Jahnium reperies l. c. p. 742—44. Ad νοῦ τρυφήν conf. infra lib. VI, §. 139. τρυφὴ λογισμῶν. — διατριβήν. Jahnius confert vocem διαγωγή Aristoteli acceptam. Pol. VIII, 5. Eth. Nic. IV, 8. — καὶ ὃν ἐνθένδεν. C. om. ὅν, quod Jahn recte emendavit. — τὴν χρηστότητα. Rom. 2, 4. Eph. 2, 7. 1 Petri 2, 3.

πλοῦτον. Καὶ τίνες μὲν ἦμεν πρὶν μεμυῆσθαι, τίνες δὲ καθέσταμεν μυηθέντες, καὶ τίς μὲν ἡ προτέρα δουλεία, τίς δὲ ἡ νῦν ἐλευθερία καὶ βασιλεία, καὶ τίνα μὲν ἡμῖν ἤδη τῶν ἀγαθῶν παρεσχέθη, τίνα δὲ ἀπόκειται, καὶ πρό γε τούτων, τίς ἡμῖν ἁπάντων τούτων ὁ χορηγὸς καὶ οἷον μὲν αὐτῷ τὸ κάλλος, ὁποῖος δὲ τὴν χρηστότητα καὶ ὅπως ἐφίλησε τὸ γένος καὶ ἡλίκος ὁ ἔρως! Τούτων γὰρ τὴν 15
διάνοιαν προκατειληφότων καὶ τὴν ψυχὴν κατασχόντων, οὐ ῥάδιον ἐπ' ἄλλο βλέψαι τὸν λογισμὸν καὶ τὴν ἐπιθυμίαν μετενεγκεῖν ἐτέρωσε, οὕτω μὲν καλῶν ὄντων οὕτω δὲ ἐπαγωγῶν· αἵ τε γὰρ εὐεργεσίαι πλήθει καὶ μεγέθει νικῶσι, τό τε φίλτρον, ὅθεν ἐπὶ ταύτας προήχθη, μεῖζον ἢ λογισμοῖς ἀνθρώπων ὑποπεσεῖν. Καθάπερ γὰρ τῶν 16
ἀνθρώπων τοὺς ἐρῶντας ἐξίστησι τὸ φίλτρον, ὅταν ὑπερβάλλῃ καὶ κρεῖσσον γένηται τῶν δεξαμένων, τὸν ἴσον τρόπον ὁ περὶ τοὺς ἀνθρώπους ἔρως τὸν θεὸν ἐκένωσεν. Οὐ γὰρ κατὰ χώραν μένων καλεῖ πρὸς 17
ἑαυτὸν ὃν ἐφίλησε δοῦλον, ἀλλ' αὐτὸς ζητεῖ κατελθών, καὶ πρὸς τὴν καταγωγὴν ἀφικνεῖται τοῦ πένητος ὁ πλουτῶν, καὶ προσελθὼν δι' ἑαυτοῦ μηνύει τὸν πόθον καὶ ζητεῖ τὸ ἴσον καὶ ἀπαξιοῦντος οὐκ ἀφίσταται καὶ πρὸς τὴν ὕβριν οὐ δυσχεραίνει καὶ διωκόμενος προσεδρεύει ταῖς θύραις, καὶ ἵνα τὸν ἐρῶντα δείξῃ, πάντα ποιεῖ καὶ ὀδυνώμενος φέρει καὶ ἀποθνήσκει. Ἐπεὶ γὰρ δυοῖν ὄντων, ἃ 18
δῆλον καθίστησι καὶ θριαμβεύει τὸν ἐραστήν, τοῦ τε πᾶσιν οἷς ἔξεστιν εὖ ποιεῖν τὸν ἐρώμενον, τοῦ τε δεινὰ πάσχειν αἱρεῖσθαι περὶ αὐτοῦ καὶ ὀδυνᾶσθαι δεῆσαν, δεῖγμα

---

16. *ἐρῶντας ἐξίστησι.* Conf. Basil. M. Opp. t. I, p. 164. t. III, p. 612. ed. Garn. Jahn l. c. n. 58. — *ἔρως — ἐκένωσεν.* Phil. 2, 7. 2 Cor. 8, 9. Vide Prolegom. sect. XI.

17. *ζητεῖ τὸ ἴσον.* A. *τὸν ἴσον.* — *τὸν ἐρῶντα δείξῃ.* „Ut sese tamquam vere amantem ostendat.“ Jahn. conjecit *ἔρωτα.*

18. *εὖ ποιεῖν τὸν ἐρώμενον.* B. *τύ.* Post *αὐτοῦ πληττόμενος* C. add. *καὶ φέρειν ὀδυνώμενος.*

μὲν φιλίας τοῦ προτέρου τὸ δεύτερον γένοιτ' ἂν πολλῷ τινι μεῖζον, τῷ θεῷ δὲ οὐκ ἐξῆν ἀπαθεῖ πάντων ὄντι κακῶν, ἀλλὰ φιλάνθρωπος ὢν εὐεργετεῖν μὲν εἶχε τὸν ἄνθρωπον, ἀνέχεσθαι δὲ ὑπὲρ αὐτοῦ πληττόμενος οὐδ' ἐγγύς, καὶ τὸ μὲν φίλτρον ὑπερφυὲς ἦν, τὸ δὲ σημεῖον, ᾧ δῆλον ἂν ἦν, οὐ προσῆν, ἔδει δὲ μὴ λανθάνειν σφόδρα φιλῶν, ἀλλὰ τῆς μεγίστης ἀγαπῆς δοῦναι πεῖραν ἡμῖν καὶ δεῖξαι
19 τὸν ἔσχατον ἐρῶν ἔρωτα· — ταύτην μηχανᾶται τὴν κένωσιν καὶ πραγματεύεται καὶ ποιεῖ δι' ὧν οἷός τε γένοιτ' ἂν δεινὰ παθεῖν καὶ ὀδυνηθῆναι, καὶ οὕτως οἷς ἀνέσχετο
πείσας, ὡς ἄρα φιλεῖ διαφερόντως, πρὸς ἑαυτὸν ἐπιστρέψει
20 τὸν ὅτι πέπεισται μισεῖσθαι φυγόντα τὸν ἀγαθόν. Τὸ δὲ πάντων καινότατον, — οὐ γὰρ ἤνεγκε μόνον τὰ δεινότατα πάσχων καὶ ἐπὶ ταῖς πληγαῖς ἀποθνήσκων, ἀλλὰ καὶ ἀναβιοὺς καὶ τῆς φθορᾶς ἀναστήσας τὸ σῶμα, τῶν πληγῶν ἔτι περιέχεται τούτων καὶ τὰς οὐλὰς ἐπὶ τοῦ σώματος φέρει καὶ τοῖς ὀφθαλμοῖς τῶν ἀγγέλων μετὰ τούτων φαίνεται καὶ τὸ πρᾶγμα κόσμιον ἡγεῖται καὶ χαίρει δεικνύς, ὅτι δεινὰ πέπονθε, καὶ τἄλλα μὲν ἔῤῥιψεν ὅσα τοῦ σώματος, καί ἐστιν αὐτῷ τὸ σῶμα πνευματικὸν, καὶ οὔτε βάρους οὔτε πάχους οὔτ' ἄλλου πάθους αὐτῷ τῶν σωματικῶν οὐδὲν ὑπελείφθη, τὰς ὠτειλὰς δὲ παντάπασιν οὐκ ἀπέβαλεν οὐδὲ τελέως ἀπετρίψατο τὰς πληγάς, ἀλλὰ στέργειν ᾠήθη διὰ τὸ περὶ τὸν ἄνθρωπον φίλτρον, ὅτι διὰ τούτων εὗρεν ἀπολωλότα καὶ πληττόμενος εἷλε τὸν ἐρώμενον. Ἄλλως γὰρ ἔτι συνεστάναι τὰ πληγῶν ἴχνη πῶς ἂν ἀκόλουθον ἦν ἀθανάτου σώματος, ἃ θνητῶν ἐνίοτε καὶ φθαρτῶν καὶ τέχνη καὶ φύσις ἐξέβαλεν; Ἀλλ' ὡς ἔοικεν ἐπιθυμία μὲν ἦν αὐτῷ, περὶ ἡμῶν ἀλγῆσαι πολλάκις· ἐπεὶ δὲ οὐκ ἐξῆν, τοῦ σώματος αὐτῷ τὴν φθορὰν καθάπαξ διαφυγόντος καὶ ἅμα τῶν πληξάντων φειδόμενος ἀνθρώπων, τὰ γοῦν σημεῖα τῆς σφαγῆς ἔγνω τῷ σώματι συντηρεῖν καὶ τοῖς τύποις ἀεὶ συνεῖ-

---

20. ἔῤῥιψεν ὅσα τοῦ σ. C. om. τοῦ.

ναι τῶν τραυμάτων, ων ἅπαξ ἐνεγέγραπτο σταυρωθεὶς, ἵνα δῆλος, ὡς ἄρα περὶ τῶν δούλων ἐσταύρωται καὶ τὴν πλευρὰν ἐνύγη, πόρρωθεν ἢ καὶ μετὰ τῆς ἀκτῖνος ἐκείνης τῆς ἀποῤῥήτου, καὶ ταῦτα κόσμιον ἔχῃ τῷ βασιλεῖ. Τί 22
τοῦ φίλτρου τούτου γένοιτ' ἂν ἴσον; τί τοσοῦτον ἐφίλησεν ἄνθρωπος; τίς οὕτω μήτηρ φιλόστοργος ἢ πατὴρ φιλότεκνος; ἢ τίς τῶν καλῶν οὐτινοσοῦν οὕτως ἔλαβεν ἔρωτα μανικὸν, ὥστε ὅτι φιλεῖ παρ' αὐτοῦ τοῦ φιλουμένου πληγεὶς οὐκ ἀνασχέσθαι μόνον οὐδὲ τὸ φίλτρον ἔτι περὶ τὸν ἀγνώμονα σώζειν, ἀλλὰ καὶ αὐτὰ τοῦ παντὸς ἡγεῖσθαι τὰ τραύματα; Καίτοι ταῦτα γένοιτ' ἂν οὐ φιλοῦντος μόνον, 23
ἀλλὰ καὶ σφόδρα τιμῶντος, εἰ δὴ τῆς ἐσχάτης τοῦτο τιμῆς, τὸ μηδὲ τοῖς ἀῤῥωστήμασι τῆς φύσεως ἐπαισχύνεσθαι, ἀλλὰ μετὰ τῶν μιωλώπων, ὧν τῆς ἀνθρωπίνης ἐκληρονόμησεν ἀσθενείας, ἐπὶ τοῦ βασιλείου καθῆσθαι θρόνου· καὶ οὐ τὴν φύσιν μὲν τοσούτων ἠξίωσε, τοὺς καθ' ἕνα δὲ περιεῖδεν, ἀλλ' ἐπὶ τὸ διάδημα τοῦτο πάντας καλεῖ, δουλείας ἀφῆσεν, υἱοὺς ἐποίησε, τὸν οὐρανὸν ἀνέῳξε πᾶσι, καὶ τὴν ὁδὸν ὑποδείξας καὶ ὅπως ἔστιν ἀναπτῆναι, καὶ πτερὰ δέδωκε καὶ οὐκ ἠγάπησεν, ἀλλὰ καὶ αὐτὸς ἡγεῖται καὶ ὑπανέχει καὶ παρακαλεῖ ῥαθυμιοῦντας. Καὶ οὔπω τὸ 24
μεῖζον εἶπον· οὐ γὰρ μέχρι τοσούτου τοῖς δούλοις σύνεστιν ὁ δεσπότης καὶ κοινωνεῖ τῶν αὐτοῦ οὐδὲ χεῖρα δίδωσι μόνον, ἀλλ' ἑαυτὸν ἡμῖν ὅλον παρέσχεν, ὑπὲρ οὗ νεώς ἐσμεν θεοῦ ζῶντος· Χριστοῦ μέλη ταῦτα τὰ μέλη, τούτων τῶν μελῶν τὴν κεφαλὴν τὰ χερουβὶμ προσκυνεῖ, οἱ πόδες οὗτοι, αἱ χεῖρες αὗται ἐκείνης ἐξήρτηνται τῆς καρδίας.

Τίνων μὲν οὐ λυσιτελέστερα, τίνων δὲ οὐχ ἡδίω ταῦτα 25

---

21. *καὶ ταῦτα κόσμον ἔχῃ*, „ut haec vulnera illi tanquam regi ornamentum afferant."
22. *αὐτὰ τοῦ παντός.* Fort. addendum *μᾶλλον.* — Tum pergit C. *καὶ τοιαῦτα γένοιτ' ἄν κτλ.*
23. *μετὰ τῶν μωλώπων.* Paullo infra A. *τοσοῦτον ἠξίωσε.*
25. *ταῦτα λογίζεσθε.* B. C. *λογίζεσθαι.* — *ὁ γὰρ ἀγαπῶν.* Joh. 14, 21. 15, 10.

λογίζεσθε; Ταῦτα γὰρ σκοπούντων καὶ τούτων ἐν τῇ ψυχῇ κρατούντων τῶν λογισμῶν πρῶτον μὲν οὐκ ἂν εἴη πάροδος ἐν ἡμῖν τῶν πονηρῶν οὐδενί, ἔπειτα περιέσται τὰς εὐεργεσίας καταμιαθοῦσι, τῷ περὶ τὸν εὐεργέτην προσθεῖναι πόθῳ, φιλοῦντες δὲ οὕτω σφόδρα καὶ τῶν ἐντολῶν ἐργάται τῶν αὐτοῦ καὶ τῆς γνώμης ἐσόμεθα κοινωνοί. „Ὁ
26 γὰρ ἀγαπῶν μέ φησι τὰς ἐντολάς μου τηρήσει.“ Ἄλλως τε τὴν οἰκείαν ἀξίαν, ὅση τίς ἐστιν, ἐπιγνόντες οὐκ ἂν προδοῖμεν ῥαδίως οὐδ' ἀνασχοίμεθα δουλεῦσαι τῷ δραπέτῃ δούλῳ, βασιλείαν συνεγνωκότες ἡμῖν αὐτοῖς οὐκ ἀνοίξομεν τὸ στόμα πονηρᾷ γλώσσῃ, ἂν ἐν νῷ τὴν τράπεζαν ἔχωμεν
27 καὶ οἷον τὸ τὴν γλῶσσαν ταύτην φοινίξαν αἷμα. Πῶς χρησόμεθα τοῖς ὀφθαλμοῖς ἐφ' ἃ μὴ δεῖ, μυστηρίων οὕτω φρικτῶν ἀπολελαυκόσιν! Οὐ κινήσομεν τοὺς πόδας, οὐκ ἐκτενοῦμεν χεῖρας ἐπί τι πονηρὸν, ἂν ἐνεργὸν ἐν τῇ ψυχῇ τὸν περὶ τούτων ἔχωμεν λόγον, ὡς ἄρα Χριστοῦ μέλη ταῦτα καὶ ἱερὰ καὶ καθάπερ φιάλη τὸ ἐκείνου φέρουσιν αἷμα, μᾶλλον δὲ ὅλον αὐτὸν ἐνδέδονται τὸν σωτῆρα, οὐ καθάπερ ἱμάτιον οὐδ' ὥσπερ αὐτὸ τὸ σύμφυτον δέρμα, ἀκριβέστερον δὲ τοσοῦτον, ὅσον καὶ αὐτῶν τῶν ὀστῶν, τὸ ἔνδυμα τοῦτο τοῖς ἐνδεδυμένοις πολὺ συμπέφυκε μᾶλ-
28 λον. Τὰ μὲν γὰρ δύναιτ' ἄν τις καὶ μὴ βουλομένων ἀποτεμεῖν, τὸν Χριστὸν δὲ οὐδ' ἂν εἷς οὐ τῶν ἀνθρώπων οὐ τῶν δαιμόνων, „οὐ τὰ ἐνεστῶτά φησι Παῦλος, οὐ τὰ μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος“, οὔτ' ἄλλη κτίσις ἑτέρα,
29 κἂν ὁπωσοῦν δυνάμει κρατῇ. Τῶν γὰρ τοῦ Χριστοῦ μαρτύρων μὲν δορὰν ἀποσύραι καὶ περιελεῖν ὁ πονηρὸς ἴσχυσε ταῖς τῶν τυράννων χερσὶ, καὶ κατατεμεῖν τὰ μέλη καὶ ὀστᾶ συντρίψαι καὶ τάνδον ἐκχέαι καὶ ἀνασπάσαι τὰ σπλάγχνα· τὸ δ' ἱμάτιον τοῦτο συλῆσαι καὶ τοῦ Χριστοῦ γυμνῶσαι τοὺς μακαρίους, τοσοῦτον ἐδέησε ταῖς ἐπινοίαις,

---

27. *αὐτῶν τῶν ἁρμονιῶν καί.* C. om. *καί.*

28. *οὐ τὰ ἐνιστῶτα.* Rom. 8, 39.

29. *τοσοῦτον ἐδέησε τ. ἐπινοίαις.* „Tantum áberat, ut hac

ἁπάντων τὸ πλημμελοῦντας ὁτιοῦν μὴ πρὸς τὸν θεὸν εὐθὺς ἐπεστράφθαι παραιτουμένους, ἀλλ' αἰσχυνομένους καὶ δεδοικότας ἐργώδη τινὰ νομίζειν τὴν εἰς ἐκεῖνον ὁδὸν, καὶ ὡς ὀργίλως πρὸς ἡμᾶς καὶ δυσχερῶς ἔχει καὶ μεγόλης δεῖ τοῖς προσελθεῖν βουλομένοις παρασκευῆς· ἡ δὲ τοῦ θεοῦ φιλανθρωπία τῆς ψυχῆς παντάπασι τοῦτον ἐκβάλλει τὸν λογισμόν. Τῷ γὰρ εἰδότι σαφῶς, ὅπως ἡμερότητος ἔχει, 38
καὶ ὡς ἔτι λαλοῦντος ἐρεῖ, ἰδοὺ πάρειμι, τί γένοιτ' ἂν κώλυμα περὶ τῶν ἡμαρτημένων εὐθὺς αὐτῷ προσελθεῖν; Τοῦτο γὰρ μηχάνημα καθ' ἡμῶν καὶ τέχνη τοῦ κοινοῦ πολεμίου, πρὸς μὲν τὴν ἁμαρτίαν ἄγοντα θρασύτητι καὶ τόλμῃ κινεῖν, τολμήσασι δὲ τὰ δεινότατα καὶ πεσοῦσιν αἰσχύνην καὶ δέος ἄτοπον ἐντιθέναι, ὡς ἂν τῷ μὲν παρασκευάσῃ πεσεῖν, τῷ δ' ἀνακτῆναι μὴ συγχωρήσῃ, μᾶλλον δὲ τῷ μὲν ἀπαγάγῃ θεοῦ, τῷ δὲ πρὸς αὐτὸν ἐπανελθεῖν οὐκ ἐάσῃ, καὶ οὕτω διὰ τῶν ἐναντίων ἐφ' ἓν ἑλκύσῃ βάραθρον. Ταῦτα δὲ πάσῃ σπουδῇ φυλάτ- 39
τεσθαι δεῖ, καὶ φεύγειν ὁμοίως τήν τε πρὸ τῆς ἁμαρτίας τόλμιαν καὶ τὴν μετὰ ταύτην αἰσχύνην καὶ φόβον, ὧν οὐδὲν ὄφελος. Οὐ γὰρ δὴ κέντρον οὗτος ὁ φόβος, ἀλλὰ 40
ἀρκη τίς ἐστι ταῖς ψυχαῖς, οὐδ' αἰσχυνόμεθα τοῖς τραύμασιν, ἵν' ἐξεύρωμεν ᾧ θεραπεύσομεν, ἀλλ' ἵνα τοὺς τοῦ σωτῆρος φύγωμεν ὀφθαλμοὺς, καθάπερ Ἀδὰμ ἐκρύβη διὰ τὸ τραῦμα τὴν τοῦ ἰατροῦ χεῖρα φεύγων, ὑπὲρ οὗ ζητεῖν ἔδει, τῷ μὴ κατ' αὐτὸς αὐτοῦ θριαμβεῦσαι τὴν ἁμαρτίαν, ἀλλὰ τὴν γυναῖκα προϊσχόμενος τὴν τῆς γνώμης ἀσθένειαν συγκαλύψαι τό γ' ἐπ' αὐτῷ· καὶ Κάϊν μετ' ἐκεῖνον λανθάνειν ζητῶν, οἷς ᾠήθη δυνηθῆναι λαθεῖν, ᾧ πάντα πρὸ τῶν ὀφθαλμῶν. Ἔστι γὰρ λυσιτελῶς καὶ δεῖσαι καὶ αἰ- 41
σχυνθῆναι καὶ ψυχὴν τῆξαι καὶ σῶμα κατενεγκεῖν, ὅταν

---

39. *αἰσχύνην καὶ φόβον.* C. *τὸν φόβον.*

40. *τῷ μὴ — θριαμβεῦσαι τὴν ἁμαρτίαν,* „ita ut non ipse contra se ipsum de peccato triumpharet, sed" etc.

προσέχει οὐδὲ τιμᾷ δούλων τιμαῖς, φίλους δὲ ἡγούμενος καὶ νόμους αὐτοῖς φιλίας σώζων ὅ γε θεὶς ἐξ ἀρχῆς κοινὰ τὰ ὄντα ποιεῖται, καὶ οὐ τοῦτο ἢ ἐκεῖνο μόνον, ἀλλὰ τὴν βασιλείαν αὐτὴν αὐτὸ δίδωσι τὸ διάδημα· καὶ πρὸς τί γὰρ ἄλλο βλέπων ὁ μακάριος Παῦλος „κληρονόμους μὲν εἶναί φησι θεοῦ, συγκληρονόμους δὲ Χριστοῦ“ καὶ τῷ Χριστῷ
35 συμβασιλεύειν τοὺς μετασχόντας τῶν δυσχερῶν; Τί τοσοῦτον τερπνόν, ὥστε πρὸς τὴν θέαν ἐκείνην ἀμιλληθῆναι; — χορὸς μακαρίων, δῆμος χαιρόντων! Καὶ ὁ μὲν ἀστράπτων εἰς τὴν γῆν ἐξ οὐρανοῦ καταβαίνει, γῆ δὲ ἡλίους ἄλλους ἀνατανίσχει τῷ τῆς δικαιοσύνης ἡλίῳ, καὶ πάντα
36 γέμει φωτός. Ἔνθεν οἱ μελέτῃ καὶ κακοπαθείᾳ καὶ πόνοις καὶ τῇ τῶν ὁμοφύλων κηδεμονίᾳ τὴν περὶ τὸν Χριστὸν ἐπιδειξάμενοι προθυμίαν, ἐκεῖθεν οἱ καὶ τὴν σφαγὴν μιμησάμενοι τὴν αὐτοῦ καὶ πρὸς ξίφη καὶ πῦρ καὶ θάνατον ἐκδεδωκότες αὐτούς, τὰς οὐλὰς ἔτι δεικνύντες ἐπὶ τῶν λαμπόντων σωμάτων καὶ θριαμβεύοντες τοῖς τῶν πληγῶν τύποις ὡς ἐπιγραφῇ τροπαίων, — κύκλος ἀριστέων ἀπὸ τραυμάτων εὐδοκιμῶν παρὰ βασιλεῖ τῷ σφαγῆναι νενικηκοτι, καὶ ὅ φησι Παῦλος διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένῳ. Ταῦτα ποιουμένοις μελέτην καὶ τούτων οὖσιν ὅσαι ὧραι τῶν λογισμῶν, τό τε τῆς φύσεως ἡμῶν ἀξίωμα γνώριμον ἥ τε φιλανθρωπία δήλη γένοιτ' ἂν ἡμῖν τοῦ θεοῦ.

37 Τοῦτο δὲ μάλιστα μὲν ἐπί τι πονηρὸν ἰδεῖν οὐκ ἐάσει, πεσόντας δὲ, εἰ συμβαίη, ἀναλήψαιτ' ἂν ῥαδίως. Πολλῶν γὰρ ὄντων, ἅπερ ἂν ἡμῖν προσταίη τῇ σωτηρίᾳ, μέγιστον

---

34. κληρονόμους μὲν εἶναι **Rom. 8, 17.**

35. Καὶ ὁ μὲν ἀστρ. **Deest.** ἀστράπτων **in B.**

36. ἐπιδειξάμενοι προθυμίαν. **B.** καρτερίαν. — ἐκδεδωκότες αὐτούς. **Codd. omnes** αὐτούς. — **In sequentibus C. h.** καὶ ἥ φησι *Π.*

37. Τοῦτο δὲ μαλ. **Schol. B.** *Ὅτι κἂν ἁμαρτάνωσι οἱ τὰ Χριστοῦ μελετῶντες, οὐκ ἀπαγορεύουσι τὴν σωτηρίαν, ἀλλ' αὐτίκα τῷ τῆς μετανοίας φαρμάκῳ τὴν ψυχικὴν ὑγείαν ἀνακαλοῦνται.*

ἁπάντων τὸ πλημμελοῦντας ὁτιοῦν μὴ πρὸς τὸν θεὸν εὐθὺς ἐπεστράφθαι παραιτουμένους, ἀλλ' αἰσχυνομένους καὶ δεδοικότας ἐργώδη τινὰ νομίζειν τὴν εἰς ἐκεῖνον ὁδὸν, καὶ ὡς ὀργίλως πρὸς ἡμᾶς καὶ δυσχερῶς ἔχει καὶ μεγάλης δεῖ τοῖς προσελθεῖν βουλομένοις παρασκευῆς· ἡ δὲ τοῦ θεοῦ φιλανθρωπία τῆς ψυχῆς παντάπασι τοῦτον ἐκβάλλει τὸν λογισμόν. Τῷ γὰρ εἰδότι σαφῶς, ὅπως ἠμερόστητος ἔχει, 38
καὶ ὡς ἔτι λαλοῦντος ἐρεῖ, ἰδοὺ πάρειμι, τί γένοιτ' ἂν κώλυμα περὶ τῶν ἡμαρτημένων εὐθὺς αὐτῷ προσελθεῖν; Τοῦτο γὰρ μηχάνημα καθ' ἡμῶν καὶ τέχνη τοῦ κοινοῦ πολεμίου, πρὸς μὲν τὴν ἁμαρτίαν ἄγοντα θρασύτητι καὶ τόλμῃ κινεῖν, τολμήσασι δὲ τὰ δεινότατα καὶ πεσοῦσιν αἰσχύνην καὶ δέος ἄτοπον ἐντιθέναι, ὡς ἂν τῷ μὲν παρασκευάσῃ πεσεῖν, τῷ δ' ἀνακτῆναι μὴ συγχωρήσῃ, μᾶλλον δὲ τῷ μὲν ἀπαγάγῃ θεοῦ, τῷ δὲ πρὸς αὐτὸν ἐπανελθεῖν οὐκ ἐάσῃ, καὶ οὕτω διὰ τῶν ἐναντίων ἐφ' ἓν ἑλκύσῃ βάραθρον. Ταῦτα δὲ πάσῃ σπουδῇ φυλάτ- 39
τεσθαι δεῖ, καὶ φεύγειν ὁμοίως τήν τε πρὸ τῆς ἁμαρτίας τόλμαν καὶ τὴν μετὰ ταύτην αἰσχύνην καὶ φόβον, ὧν οὐδὲν ὄφελος. Οὐ γὰρ δὴ κέντρον οὗτος ὁ φόβος, ἀλλὰ 40
νάρκη τίς ἐστι ταῖς ψυχαῖς, οὐδ' αἰσχυνόμεθα τοῖς τραύμασιν, ἵν' ἐξεύρωμεν ᾧ θεραπεύσομεν, ἀλλ' ἵνα τοὺς τοῦ σωτῆρος φύγωμεν ὀφθαλμούς, καθάπερ Ἀδὰμ ἐκρύβη διὰ τὸ τραῦμα τὴν τοῦ ἰατροῦ χεῖρα φεύγων, ὑπὲρ οὗ ζητεῖν ἔδει, τῷ μὴ κατ' αὐτὸς αὐτοῦ θριαμβεῦσαι τὴν ἁμαρτίαν, ἀλλὰ τὴν γυναῖκα προϊσχόμενος τὴν τῆς γνώμης ἀσθένειαν συγκαλύψαι τό γ' ἐπ' αὐτῷ· καὶ Καΐν μετ' ἐκεῖνον λανθάνειν ζητῶν, οἷς φήθη δυνηθῆναι λαθεῖν, ᾧ πάντα πρὸ τῶν ὀφθαλμῶν. Ἔστι γὰρ λυσιτελῶς καὶ δεῖσαι καὶ αἰ- 41
σχυνθῆναι καὶ ψυχὴν πῆξαι καὶ σῶμα κατενεγκεῖν, ὅταν

---

39. *αἰσχύνην καὶ φόβον.* C. *τὸν φόβον.*

40. *τῷ μὴ — θριαμβεῦσαι τὴν ἁμαρτίαν,* „ita ut non ipse contra se ipsum de peccato triumpharet, sed" etc.

πρὸς τὸν θεὸν ταῦτα δύνηται φέρειν, ἀπὸ γὰρ τῶν καρπῶν αὐτῶν φησιν ἐπιγνώσεσθε αὐτούς· ἐπεὶ δ' οὐχ ὅσον αἰσχύνη καὶ δέος, ἀλλὰ βαρεῖά τις ἀνία τὴν ἁμαρτίαν ἐκδέχεται, καὶ ταύτης οὐδεμία γένοιτ' ἂν βλάβη τοῖς ἀκριβῶς
42 τὴν τοῦ θεοῦ φιλανθρωπίαν ἐπισταμένοις. Κἂν γὰρ τὰ ἔσχατα τῶν κακῶν αὐτοῖς συνειδῶσιν, οὐκ ἂν πρόοιντο τὰς ἐλπίδας· εἴσονται δὲ μηδὲν οὕτω μεῖζον εἶναι συγγνώμης, ὥστε τῆς τοῦ θεοῦ κρατῆσαι χρηστότητος, λύπην δὲ τὴν μὲν οἴσουσι τὴν σωτήριον καὶ ζητήσουσιν, οἷς μείζω ποιήσουσι, τὴν ἑτέραν δὲ ἐκβαλοῦσι ταῖς ἀγαθαῖς ἐλπίσι λυμαινομένην.

43 Τοῦ μὲν οὖν διττὴν εἶναι τὴν ἐπὶ τοῖς ἁμαρτήμασι λύπην, καὶ τὴν μὲν ἐπανορθοῦν, τὴν δὲ τοῖς ἀνεχομένοις ὄλεθρον ἔχειν, μάρτυρες σαφεῖς ἑκατέρων τοῦ μὲν Πέτρος ὁ μακάριος, θατέρου δὲ Ἰούδας ὁ μιαρός· ὧν τῷ μὲν διέσωσε τὴν γνώμην ἡ λύπη καὶ τῷ Χριστῷ συνέστη, — κλαύσας πικρῶς οὐδὲν ἧττον ἢ πρὶν εἰς αὐτὸν ἐξαμαρτεῖν,
44 — τὸν δὲ ἐπὶ βρόχον ἤγαγε τὸν Ἰούδαν. Καὶ ἀπῆλθε δεσμὰ φέρων ἐν τῷ καιρῷ τῆς κοινῆς ἐλευθερίας, ὅτε τὸ καθάρσιον τοῦ κόσμου παντὸς ἐχεῖτο, τὴν ἑαυτοῦ κάθαρσιν ἑνὸς ἀνδρὸς ἀπογνούς. Ὡς ἂν δὲ πόρρωθεν εἰδότες τὴν μὲν εἰσδεχώμεθα, τὴν δὲ φεύγωμεν, τῶν παθῶν ἑκατέρου προσθεῖναι δεῖ τὴν διαφοράν, καὶ ᾧ τὸ μὲν εὖ
45 ποιεῖν ἡμᾶς ἔχει, τὸ δὲ κακῶς. Ἐπεὶ γὰρ ἁμαρτάνοντες τῷ τε θεῷ καὶ ἡμῖν αὐτοῖς γινόμεθα πονηροί, τὸ μὲν ὑπὲρ τῆς εἰς τὸν δεσπότην ἀγνωμοσύνης ἀλγεῖν οὔτε βλάβος οὐδὲν οἴσει, καὶ μάλιστα γένοιτ' ἂν ἡμῖν ἐν καιρῷ, τό γε μὴν περὶ ἡμῶν αὐτῶν θαυμαστάς τινας ψήφους ὑπο-

---

41. ἀπὸ γὰρ τῶν καρπῶν. Matth. 7, 16. — ἐκδέχεται. A. ἐκδέχηται.

42. οἴσουσι τὴν σωτήριον. B. σωτηρίαν.

44. τὴν μὲν εἰσδεχώμεθα scil. λύπην. — Schol. B. Διττῆς οὔσης τῆς ἐπὶ τοῖς ἁμαρτήμασι λύπης, καὶ τῆς μὲν οὔσης βλαβερᾶς τῆς δὲ σωτηρίου, τίς ἡ διαφορά.

δεμένους, ἔπειτ' ἐξελεγμένας ὁρῶντες, δι' ὧν τῶν δεόντων ἡμαρτήκαμεν, ἀνιᾶσθαι καὶ κόπτεσθαι καὶ πικρῷ τινι μεταμέλῳ τὴν καρδίαν πιέζειν, ὡς οὐκ ὂν βιωτὸν τηλικούτοις κακοῖς τοιοῖσδε περιπεσοῦσι. Ταύτην δὲ τὴν λύπην 46
ἀποτρέπεσθαι δεῖ θανάτου μητέρα φανερῶς οὖσαν καὶ τὸ πολλοῦ τινος ἡμᾶς αὐτοὺς ἀξιοῦν, τὴν ἑτέραν δὲ τὸ περὶ τὸν δεσπότην ἐγείρει φίλτρον καὶ τὸ σαφῶς εἰδέναι τὸν εὐεργέτην, καὶ ὧν ὀφείλεται, πάντες αὐτῷ καταστάντες οὔτ' εἰσφέρομεν οὐδὲν καὶ πρός γε κακοῖς ἀμειβόμεθα. Καθάπερ 47
τοίνυν ἀλαζονεία πονηρὸν, οὕτω καὶ τὸ διὰ ταύτην ταῖς ψυχαῖς γινόμενον ἄλγος καὶ αὖθις ἥ τε περὶ τὸν Χριστὸν ἀγάπη τῶν ἐσχάτως ἐπαινουμένων, τοῦ τε τοῖς ἐκεῖθεν βέλεσι κεντουμένους ὀδυνᾶσθαι καὶ τήκεσθαι τὴν ψυχὴν, μακαριώτερον τοῖς εὖ φρονοῦσιν οὐδέν. Ἐπεὶ δ' 48
ἐξήρηται μὲν τῆς περὶ τὸν Χριστὸν ἀγάπης ἡ χαρίτων γέμουσα λύπη, ἀγάπη δὲ τῶν ἐννοιῶν, αἳ τὸν Χριστὸν ἔχουσι καὶ τὴν ἐκείνου φιλανθρωπίαν, ταύτας ἂν εἴη προὔργου τῇ μνήμῃ κατέχειν καὶ στρέφειν ἐν τῇ ψυχῇ καὶ τῆς διατριβῆς ταυτησὶ μηδέποτε σχολὴν ἄγειν, ἀλλ' ἐπίτηδες τοῦτο μὲν ἐφ' ἑαυτῶν αὐτοὺς ταυτὶ μελετᾷν καὶ λογίζεσθαι, τοῦτο δ' ἐν ταῖς συνουσίαις γλώσσης τρυφὴν καὶ συλλόγων ὕλην ποιεῖσθαι καὶ πρός γε πειρᾶσθαι μηδενὶ διακοπτομένους συνεχῆ ταύτην ἐπιδείκνυσθαι τὴν σπουδὴν, εἰ μὲν οἷόν τε διὰ βίου, εἰ δ' οὖν συχνὸν, ὡς ἂν ἐντακῆναι δυνηθῇ καὶ κατάσχῃ παντάπασι τὴν καρδίαν. Οὔτε γὰρ 49
πῦρ δράσειεν ἂν οὐδὲν, οἷς ἂν ἐπέλθοι, μὴ συνεχῶς ὁμιλῆσαν, οὔτε λογισμὸς διαλείπων πρὸς ὁτιοῦν πάθος ἂν διάθοιτο τὴν καρδίαν, ἀλλὰ δεῖ χρόνου συχνοῦ τινος ἐφεξῆς. Οἱ μὲν οὖν ἀπὸ τῶν ἐν αἰσθήσει καλῶν καὶ ἡδέων τὴν

---

45. *δι' ὧν τῶν δεόντων.* C. *οὐ δεόντων.*

46. *καὶ ὧν ὀφείλεται.* Fort. legendum *καὶ ὅτι ὧν ὀφείλεται.*

47. *τῶν ἐσχάτως ἐπαινουμένων.* B. *ἐσχάτων.* — *φρονοῦσιν οὐδέν.* Schol. B. *"Οτι τὴν περὶ Χριστοῦ καὶ τῶν αὐτοῦ μελέτην συνεχῆ ποιεῖσθαι δεῖ μὴ διακοπτομένους.*

48. *ἐντακῆναι δυνηθῇ καὶ.* C. *δυνηθῆναι τῇ ψυχῇ καὶ.*

ἐπιθυμίαν καίοντες λογισμοὶ, — διότι τὰς μὲν αἰσθήσεις ἐνεργοὺς ἡμῖν ἐξ ἀρχῆς εἶναι συμβαίνει, τοὺς δὲ ἐκεῖθεν ὁρμᾶθαι, — σύντροφοι καὶ ἡλικιῶται καὶ πείθοντες ἅπ' ἂν βούλοιντο ῥαδίως, τῷ τε ἡδεῖς εἶναι τῷ τε πολὺν ἡμῖν χρόνον συνεῖναι· πρὸς δὲ τὸν νοῦν καὶ τὴν ἐκείνου φιλοσοφίαν χρόνῳ ὕστερον ἀφιγμένοις πολλῆς ἀνάγκη τῆς σπουδῆς, ὡς ἐν βραχεῖ χρόνῳ καὶ συνεχοῦς συνουσίας, ὥστε παθεῖν τι πρὸς τὸ ἀγαθὸν οὔτε αὐτίκα τέρπον καὶ
50 ὀψὲ μάλα πολλῶν ἤδη πληρωθεῖσιν ἐπεισερχόμενον. Μόλις γὰρ ἂν τῷ συντόνῳ τῆς μελέτης τὸ μακρὸν τῆς ἐκείνων διακόψαντες συνηθείας τἀληθῆ μὲν τῶν δοκούντων, τἀγαθὰ δὲ τῶν ἡδέων ἀντεισαγαγεῖν δυνηθείμεν· ὅθεν οὐδὲ χρὴ θαυμάζειν, εἰ τῶν λογισμῶν οἱ ἄριστοι τῶν πονηρῶν οὐ κρατοῦσι πανταχοῦ, καὶ τῶν χειρόνων οὐ πλέον ἔχουσιν οἱ καλλίους παρὰ τοῖς ἐν λόγῳ ζῶσιν. Ἀρκέσαι γὰρ
51 ἂν εἰκότως οἶμαι πρὸς τὸ δυνηθῆναι γενέσθαι χρηστὸν, οὐ τοῦτ' αὐτὸ μαθεῖν, ὅθεν ἂν γένοιτο πεισθῆναι γενέσθαι χρηστὸν, ἀνάγκη δὲ καὶ μελετῶντας διατρίψαι καὶ μεῖναι λογιζομένους, καὶ τὸν ὀρθὸν λόγον οὐ μαθόντα κτήσασθαι μόνον, ἀλλὰ καὶ χρήσασθαι πρὸς ἃ δεῖ, καθάπερ καὶ σιτίον καὶ ὅπλον καὶ φάρμακον καὶ ἱμάτιον οὐ τοῖς συνοῦσιν ἁπλῶς καὶ κεκτημένοις ὄφελος ἔχει, τοῖς χρωμένοις δὲ
52 τὰ γιγνόμενα βοηθεῖ. Εἰ δὲ τῶν λογισμῶν οἱ μὲν φαῦ-

---

50. *διότι τὰς μὲν κτλ.* **Hunc quoque locum respexit Marcus Eugenicus in libro de imbecillitate hominis (Illgen Ztschr. XV. 4. p. 70), ubi haec dicit:** *ἐπεὶ οὖν ἡ μέν αἴσθησις πᾶσιν ἀνθρώποις ἐκ νηπίου σύντροφος, ὁ δὲ λόγος οὐκέθ' ὁμοίως, ἀλλὰ μόλις τελειοῦται χρόνῳ καὶ νόμῳ συνίσταται καὶ ἔθει κρατύνεται καὶ μαθήσει καὶ ἀσκήσεσιν ἐπιδίδωσι, προλαβοῦσα τοῦτον ἐκείνη καὶ τὰ ἑαυτῆς καλὰ καὶ ἡδέα προδείξασα καὶ τὴν ἐπ' αὐτοῖς ἀμετρίαν εἰσαγαγοῦσα καὶ οὕτως ἐξανδραποδισαμένη τὸν ἄνθρωπον ἀπαγαγοῦσα πόρρω τοῦ λόγου τοῖς πάθεσι παραδίδωσιν, οἷον ἑτέροις δεσπόταις καὶ τυράννοις πικροῖς.*

51. *οὐ τοῦτ' αὐτὸ μαθεῖν.* **C.** *αὐτὸν τό.* — *γιγνόμενα βοηθεῖ.* **Schol. B.** *Διὰ τί οὐ κρατοῦσιν οἱ ἀγαθοὶ λογισμοὶ τῶν πονηρῶν ἀεί.*

λοι τὸν νοῦν εἰς ἑαυτοὺς ἀσχολοῖεν ἐγκείμενοι, τῶν δ' ἀγαθῶν ὅσον αἰσθέσθαι γεγευμένοι μόνον ἀποπηδῶμεν, τί καινὸν τὰ χείρω κρατεῖν, καὶ τοὺς μὲν πονηροὺς κατασχεῖν τὴν τῆς ψυχῆς χώραν ἐνεργοὺς ὄντας, τοὺς δ' ἐκβεβλῆσθαι παντάπασιν ἠτημένους ὄντας ἀργούς; Οὔτε 53
τοίνυν μὴ οἰκοδομεῖν εἰδότα, ἢ μὴ τὸν ἰατρὸν ὑγιάζειν ἢ τῶν δημιουργῶν ὁντινοῦν μὴ τὰ αὐτοῦ ποιεῖν, ἕως οὐ χρῷτο τῇ τέχνῃ καινὸν οὐδὲν, οὔτε ἐκεῖνο θαυμαστὸν, εἴ τις τὸν ὀρθὸν λόγον ἔχων, ἐνεργὸν δὲ οὐκ ἔχων οὐδὲν ἀπώναστο τῆς σπουδῆς. Χρήσαιτο γὰρ ἄν τις τοῖς μὲν 54
ὅπλοις πρὸς τοὺς ἐπιόντας ᾗ προσῆκε διαχειρίζων, τῇ τέχνῃ δὲ κατ' αὐτὴν ἐνεργῶν· τῶν δὲ λογισμῶν τοῖς ἀρίστοις, — καθάπερ τοῖς συμβούλοις χρώμεθα, — προσέχων τὸν νοῦν, οὐχ ὅσον ἃ δεῖ μαθόντα γνῶναι, ἀλλ' ὥστε γνόντα πεισθῆναι καὶ τῶν ὡς ἀληθῶς καλῶν ἔρωτα σχεῖν, ὃ περιέργου δεῖται μελέτης· ἐπεὶ καὶ τοὐναντίον ἐπὶ τῶν φαύλων τὸ μὲν ἀσχολεῖσθαι καὶ διατρίβειν τῇ ψυχῇ τὸν ὄλεθρον, τὸ δ' ἁπλῶς οὑτωσὶ γνῶναι δεινὸν οὐδὲν, ὅθεν ἀνάγκη τὴν μελέτην ὥσπερ ἐκεῖ φεύγειν, οὕτως ἐνταῦθα διώκειν.

Τὸ μὲν οὖν ἐθέλειν τἀγαθὸν, οὐδὲν ἔργον, οὐδεμία 55
γὰρ τοῦ πράγματος ἡγεῖται σπουδή· πρὸς δὲ τὸ λαβεῖν καὶ σῶσαι πόνου δεόμενον, πραγματείας καὶ μεθόδου χρεία τινὸς, πῶς ἂν ἑκόντες εἶναι τοὺς ἀγῶνας ἀνελοίμεθα τούτους, ὡς οὐκ ὂν ῥᾴδιον ἑλέσθαι πονεῖν; Ἔστι δὲ τὸ 56
μὲν ἀπανταχοῦ πρὸς τοὺς ἀγῶνας ἀλεῖφον ὁ περὶ ὧν ἀγωνιζόμεθα πόθος· οὗτος γὰρ ἡδεῖς ποιεῖ τοὺς πόνους, κἂν ὦσι λίαν ὀδυνηροὶ, τὸν ἔρωτα δὲ τῶν καλῶν τῶν ἄλλων μὲν οὐδὲν, τὸ προσχεῖν δὲ τὸν νοῦν αὐτοῖς καὶ καταμαθεῖν τὸ κάλλος ἀνάπτει· καὶ τοῦτό ἐστι

52. ἀποπηδῶμεν, τί καινόν. Om. haec C. Et in B. desunt verba: κατασχεῖν τὴν — — ἀργούς.

55. Τὸ μὲν οὖν. Schol. B. Ὅτι ἡ περὶ τῶν θείων μελέτη συνεχὴς γινομένη ἀνάπτει τὸν περὶ Χριστὸν ἔρωτα.

56. Conf. Macar. Opusc. p. 94. 95.

τὸ πῦρ, ὅπερ ἀπὸ τῆς περὶ θεὸν μελέτης ἀνήφθη τῇ τοῦ
57 προφήτου ψυχῇ. „Καὶ ἐν τῇ μελέτῃ μού φησιν ἐκκαυθή-
σεται πῦρ.“ ὃς ἑτέρωθι δεικνὺς, περὶ ὅ τε ἡ μελέτη καὶ
τίνος ἔργον ἀνδρὸς, τὸν μέν φησι τὸν μακάριον ἄνθρωπον
εἶναι, τὸ δὲ τὸν τοῦ θεοῦ νόμιον· ὁ γὰρ μακάριος ἀνὴρ
ἡμέρας καὶ νυκτὸς ἐν τῷ νόμῳ τοῦ θεοῦ φησι μελετήσει.
58 Εἰ δὲ ἡ περὶ τὸν γραπτὸν νόμιον μελέτη τὸ πῦρ ἀνάπτειν
δύναται τοῦτο, τί ποτε χρὴ δρᾶσαι νομίσαι τὸν νόμιον τοῦ
πνεύματος, ὃς τὸν ἀληθινὸν ἔρωτα τοῦ θεοῦ τοῖς ἀνθρώ-
ποις ἐνέθηκε μόνος καὶ πῦρ ἀνῆψε πόθου σβεσθῆναι μη-
δενὶ δυναμένην, οὐ τῶν ἡδέων οὐ τῶν ἑτέρως ἐχόντων, οὐ
59 τῶν ἐνεστώτων οὐ τῶν μελλόντων! Ὑπὲρ οὗ μοι δοκεῖ καὶ
πυρίναις φανῆναι γλώσσαις εἰσενεχθεὶς, ὅτι τὴν πυρὸς δί-
κην πάντα τολμῶσαν ἀγάπην εἰσήνεγκεν, ἐπεὶ καὶ πρῶτον
αὐτὸν τοῦ νόμου νομοθέτην ἀγάπη κεκόμικεν εἰς τὴν γῆν,
καὶ αὐτὸ τὸ τοῦ νομοθέτου σῶμα φιλανθρωπίας ἐστὶ καρ-
πὸς, καὶ ἄλλως δὲ αὐτῷ ὁ νόμος ἅπας ἔρωτος γέμει καὶ
τοῦτον μὲν ἐπιδείκνυται πᾶσιν οἷς ἔχει, τοῦτον δὲ εἰσάγει,
τούτῳ δὲ πείθει, τοῦτον δὲ παρ' ἡμῶν δῶρον, ὑπὲρ ὧν ἔδω-
60 κεν, ἀποχρῶν ἡγεῖται λαβών. Οὐ γὰρ ἐπιτάττει καθάπερ
ὀφείλουσι δούλοις, ἀλλ' ὥσπερ πολλῶν μὲν παρ' ἡμῶν πρὸς
αὐτὸν πόνων ἠγησαμένων, πολλῆς δὲ συνηθείας καὶ φίλ-
τρων, ἐπὶ τὴν κοινωνίαν καλεῖ τῶν αὐτοῦ προσιόντας εὐ-
θὺς ἐξ ἀρχῆς· ἐγὼ μὲν ὑπὲρ τῆς βασιλείας ἠγώνισμαι καὶ
πολλοῖς φησιν ἔπλεξα τὸν στέφανον πόνοις, ὑμεῖς δὲ ἀπο-
νητὶ δέξασθε, αἰτῷ δὲ παρ' ὑμῶν ἀντὶ τούτων, εἰ φιλεῖτε
πλέον οὐδέν. Ὦ τῆς ἀῤῥήτου χρηστότητος, εἰ μὴ φιλεῖ μό-
νον οὕτω σφοδρῶς, ἀλλὰ καὶ τὸ φιλεῖσθαι παρ' ἡμῶν το-
61 σούτου τιμᾶται καὶ ὑπὲρ τούτου πάντα ποιεῖ! Καὶ τίνος

---

57. ἐκκαυθήσεται. Ps. 39, 4, et deinde Ps. 1, 1. 2.

58. καὶ πῦρ ἀνῆψε. C. πυράν. De hoc igni divino atque aestu desiderii conf. Macar. hom. XI, p. 133—35, et Opusc. de elevat. mentis p. 117.

61. τοσούτου τιμᾶται. C. τούτου. — πᾶσαν διδάσκει φιλοσο-

γὰρ ἕνεκεν ὠκόδομησε μὲν οὐρανὸν καὶ γῆν καὶ ἥλιον καὶ τὸν ὁρώμενον κόσμον, τοῦ δὲ μὴ ὁρωμένου τὸ κάλλος, οἷον καὶ ὅπως αὐτῷ συνέστη νεύματι μόνῳ, καὶ τὴν ἐνταῦθα πᾶσαν διδάσκει φιλοσοφίαν, ἢ τοῦ γε πρὸς ἑαυτὸν ἐπιστρέψας πεῖσαι φιλεῖν; καὶ ὅλως καθάπερ οἱ θερμοὶ τῶν ἐραστῶν τὴν σοφίαν ἡμῖν ἐπιδείκνυται καὶ τὴν χρηστότητα καὶ τὴν τέχνην, ἵν' ἐνθεῖναι τὸν ἔρωτα τὸν ἑαυτοῦ δυνηθῇ. Καὶ τοίνυν ποιεῖται τοσοῦτον τοῦ πράγματος 62
λόγον καὶ οὕτως ἄγει πολλοῦ τινος, ὥσθ' ὑπὲρ τούτου πάντα πονήσας, ἃ θεοῦ φύσει προσῆκεν, οὐκ ἀγαπῆσαι, ἀλλὰ πρὸς ἑτέραν φύσιν ἰδεῖν, ὥστε καὶ ταύτῃ πρὸς τοῦτο χρήσασθαι, ἵν' ἅπερ οὐκ εἶχε πείθειν τῷ θεὸς εἶναι, ταῦτα γενόμενος ἄνθρωπος δυνηθῇ, καὶ δι' ἑκατέρων, ὧν τε οἴκοθεν ἦκε κομίζων, ὧν τε ἔξωθεν εἰλήφει, τὸν ἐρώμενον ἀναρτίσηται. Οὕτως ὁ τοῦ πνεύματος νόμος 63
φιλίας ἐπιεικῶς ἐστι νόμος καὶ πρὸς εὐγνωμοσύνην αὐτόθεν ἀσκεῖ. Διὰ τοῦτο προσεκτέον αὐτῷ τὸν νοῦν· πρῶτον μὲν ὅτι οὐδὲ ἱδρώς ἐστιν ἐνταῦθα οὐδείς, οὐδὲ δεῖ πονεῖν οὐδὲ χρήματα ἀναλίσκειν, οὐδ' ἀδοξία γένοιτ' ἂν οὐδ' αἰσχύνη, οὐδ' ἄλλο γε οὐδὲν ἐσόμεθα χείρους, ἀλλὰ καὶ τέχναις ἔστι χρήσασθαι οὐδὲν ἧττον, καὶ πρὸς ἐπιτήδευμα ὁτιοῦν ἔχειν οὐδὲν κώλυμα, καὶ στρατηγήσει μὲν ὁ στρατηγὸς, καὶ γεωργήσει δὲ ὁ γεωργὸς, καὶ δημιουργὸς προστήσεται τῶν ἔργων καὶ οὐ δεήσει γε οὐδενὶ τῶν γιγνομένων διὰ τουτουσὶ τοὺς λόγους. Οὐ 64
γὰρ ἐσχατιὰν ἀνάγκη καταλαβεῖν, οὐδ' ἁθῆ τινὰ προσέσθαι τροφὴν οὐδ' ἀμεῖψαι θοϊμάτιον οὐδ' ὑγείαν διαφθεῖραι, οὐδ' ἄλλο τι τολμῆσαι

φίαν. Sic scripsi cum codd. A. et B. Tertius h. φιλότιμίαν, quod etiam versioni latinae subesse videtur.

62. προσῆκεν, οὐκ ἀγαπῆσαι. „ut non contentus esset neque in eo acquiesceret.“ Ita saepius ἀγαπᾶν vel στέργειν pro ἀρκεῖσθαι etiam apud classicos scriptores. — In B. exstat Schol. Ὅτι τὰ τοῦ Χριστοῦ μελετᾶν οὐ δεῖται πόνου οὐδὲ πρός τι τῶν βιωτικῶν ἡμῖν προσίσταται.

τόλμημα, ἀλλ' ἔστιν οἴκοι μένοντα καὶ μηδὲν ἀπολλῦντα τῶν ὑπαρχόντων τούτοις ἀεὶ συνεῖναι τοῖς λογισμοῖς. Τί οὖν κωλύει γενέσθαι τὰ τοιαῦτα χρηστὸν, ὑπὲρ ὧν καὶ πόνους εἰκὸς ἦν ἐνέγκαι δεῆσαν;
65 Εἰ γὰρ ἀνθρώπους ὄντας καὶ λογίζεσθαι δυναμένους ὁτιοῦν ἀνάγκη λογίζεσθαι, πῶς οὐ τὰ βέλτιστα χρὴ λογίζεσθαι; καὶ εἰ μάταια καὶ φαῦλα καὶ ὧν ὄφελος οὐδὲν τοῖς λογιζομένοις οὐδὲ πώποτε ἐνομίσθη, τύχην ἢ τέχνην ἢ τὴν οὐσίαν ἢ ὁτιοῦν τῶν κατὰ τὸν βίον οὐδενὶ χείρω ποιήσειν, ἥκιστα δὴ πάντων ταῖς ἀγαθαῖς ἐννοίαις ταῦτα μεμψό-
66 μεθα καὶ τἀγαθὸν διώξομεν πονηρίας. Καὶ μὴν οὕτω μὲν οὐδενὶ λυσιτελεῖ πολεμοῦσι, σύνεστι δέ τις αὐταῖς ἀηδία σχολῇ γε, οὐ μᾶλλον ἢ αὐτὴν ταῦτα ἂν εἴποι τις τὴν χαράν· εἴτε γὰρ τοῖς ἀρίστοις χαίρομεν, βέλτιον γένοιτ' ἂν οὐδὲν τῶν ἐννοιῶν, αἳ τὸν Χριστὸν ἔχουσι καὶ τὴν ἐκείνου φιλανθρωπίαν, ὅτι μηδὲ αὐτῶν τῶν πραγμάτων, ἐν οἷς αὐτός ἐστιν ὁ τελευταῖος τῆς χρηστότητος ὅρος, εἴτε τὸ οἰκεῖον ἡδὺ καὶ φίλον, τούτων ἡμῖν ὃ προσήκει μᾶλλον, οὐδ'
67 ἂν εἷς εὕροι πολλὰ καμών. Οὐ γὰρ τῶν γιγνομένων καθ' αἵμα μόνον ἁπλῶς, οὐ τῶν γεγεννηκότων αὐτῶν, ἀλλ' ἤδη καὶ ἡμῶν αὐτῶν συγγενέστερος ὁ Χριστὸς ἀπὸ τῶν προτέρων δέδεικται λόγων. Ὅθεν συμβαίνει, καὶ τῷ λογιζομένῳ τῆς ψυχῆς τῶν περὶ αὐτοῦ λόγων μηδὲν οἰκειότερον εἶναι, ὥστε καὶ δι' ὧν οἰκείως ἡμῖν καὶ συγγενῶς ἔχει, καὶ οἷς ἀρίστη πασῶν ἐστιν, ἡδίω χαρίεντος ὅτου τις ἂν εἴποι, τὴν διατριβὴν ταύτην εἶναι βεβαπτισμέναις ψυχαῖς.

---

64. *ἐνέγκαι δεῆσαν.* C. *δεῆσαι.*

66. *Καὶ μὴν οὕτω μέν κτλ.* „Hae igitur cogitationes nulli rerum utilium adversantur, neque molestum aut insuave quidquam secum ferunt, haud magis quam de ipso gaudio haec dici possint.“ Male locum intellexit lat. interpres. — Schol. B. *Ὅτι τὸ τὰ τοῦ Χριστοῦ μελετᾶν πάσης διατριβῆς ἡδίον.*

67. *αὐτῶν συγγενέστερος.* C. addit *ἡμῖν.* — Deinde B. *Στέφανος ὁ μακάριος.* Act. 7, 51.

Λέγω γὰρ τοῖς μετὰ τὸ λουτρὸν μὴ λίαν αὐχμιῶσιν, ὥσπερ οὓς τῶν Ἑβραίων Στέφανος ὁ θαυμάσιος ἀπεκάλει ἀπεριτμήτους τῇ καρδίᾳ καὶ τοῖς ὠσίν. Ὡς μὲν οὖν οὔτε βλάβη τῷ ἀνθρω- 68
πίνῳ βίῳ γένοιτ' ἂν οὐδεμία παρὰ τούτους τοὺς λογισμοὺς, καὶ ἥδεσθαι καὶ χαίρειν περιγίνεται τοῖς λογιζομένοις, φανερὸν ἐκ τῶν εἰρημένων· εἰ δὲ καὶ ὄφελός ἐστι καὶ βοηθεῖ τῷ λυσιτελεῖ καὶ περὶ αὐτὰ τὰ κάλλιστα καὶ καιριώτατα πάντων, ἐδείχθη μὲν ἤδη, φανεῖται δ' ἐν τοῖς ἑξῆς ἐνεργέστερον ἀκριβέστερον περὶ αὐτῶν σκεψαμένοις.

Πρῶτον μὲν γὰρ τῷ ταῖς ἀγαθαῖς ἐννοίαις τὴν ψυχὴν 69
κατασχεθῆναι συμβαίνει μὲν τῶν πονηρῶν σχολὴν ἄγειν· τούτῳ δὲ ἀκόλουθον, καθαρὰν ἀῤῥωστίας τὴν ἀπὸ τῶν μυστηρίων φέρειν ἀκτῖνα. Τὸ δὲ ἡμῖν τὸν τῶν ἀγαθῶν ἁπάντων ἔχει σωρὸν μηδὲν πραγματευσαμένοις, ἔπειτα καὶ αὐτοὺς ἀνάγκη τοὺς λογισμοὺς τοῖς παρ' ἑαυτῶν φαρμάκοις τὰ ἑαυτῶν ποιεῖν καὶ τὰ κάλλιστα πάντων ἐργάζεσθαι τὴν καρδίαν, καθάπερ ἀπὸ τῶν πονηρῶν ἐννοιῶν τὰ πονηρὰ πάθη φύεται. Τὸν γὰρ ἴσον τρόπον 70
καὶ τὴν ἀρετὴν τῶν ἀγαθῶν ἀνίσχειν εἰκός ἐστιν. Ὅλως γὰρ ταύτην ἢ ἐκείνην τὴν γνώμην καί τι λέγειν ἢ πράττειν ἢ πάσχοντα φέρειν, ἢ ὁτιοῦν τῶν πάντων αἱρεῖσθαι, λογισμοὶ καὶ λόγοι τὸ πεῖθόν εἰσι πανταχοῦ, καὶ τοῦτον τὸν τρόπον οἱ διδάσκαλοι τῆς ἀρετῆς ἐν καιρῷ τοῖς συνοῦσιν, ὅτι τοὺς ἀρίστους ἐντίθενται λογισμοὺς, καὶ αὖ τοὐναντίον οἱ πονηροὶ δαίμονες πονηροὺς εἰσάγοντες τύπους, ὡς οἱ μὲν ταύτῃ τῶν ἀποπωτάτων τεχνίτας, οἱ δὲ τῶν δεόντων ἀπεργασόμενοι πρακτικούς. Ἔστι μὲν οὖν ἁπάσης 71
ἐπαινουμένης μελέτης, πρὸς ἀρετὴν ἀπόνασθαι τὰ γιγνόμενα, Χριστοῦ δὲ πέρι καὶ ὧν αὐτὸς φιλανθρώπως περὶ

---

68. *χαίρειν περιγίνεται.* A. *περιγίνηται.* — *περὶ αὐτῶν σκεψαμένοις.* Unus C. h. *σκεψομένοις.*

69. Hic in tribus codd. margini adscriptum legitur: *Ὅτι καὶ σφόδρα λυσιτελὴς ἡ τοιαύτη μελέτη, καὶ ὅτι τὰ παρὰ τοῦ Χριστου μακαριζόμενα ποιεῖ κατορθοῦν.* — — *Τῷ ταῖς ἀγαθαῖς ἐνν.* C. *τό.*

τῆς ἐμῆς ἐμηχανήσατο σωτηρίας, διεξιέναι τοῖς λογισμοῖς, αὐτὴν ἡμῖν ἄντικρυς ἔχει τὴν ζητουμένην ζωὴν καὶ διὰ πάντων ἀποδείκνυσι μακαρίους.

72 Καὶ ὡς ἂν ἐναργῶς εἰδῶμεν, θεωρήσωμεν, ἃ τοὺς καταρθοῦντας ὁ Χριστὸς αὐτὸς ἐκάλεσε μακαρίους, εἰ μὴ πάντα τῶν λογισμῶν ἐξήρτηται τούτων. Τίνας οὖν τούτους ὁ μόνος ὡς ἀληθῶς μακάριος εὐδαιμονίζει; τοὺς πτωχοὺς τῷ πνεύματι, τοὺς πενθοῦντας, τοὺς πράους, τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην, τοὺς ἐλεήμονας, τοὺς καθαροὺς τῇ καρδίᾳ, τοὺς εἰρηνοποιούς, τοὺς διωγμῶν καὶ παντὸς ὀνείδους περὶ δικαιοσύνης καὶ τῆς περὶ Χριστὸν
73 προθυμίας ἀνεχομένους. Οὗτοι μὲν οὖν οἱ τῆς μακαρίας ἐπειλλημένοι ζωῆς. Εἰ τοίνυν ἀπὸ τῶν λογισμῶν τούτων τὴν καλὴν πλαττόμενον πλάσιν τοῦτον σκοποῦντες εὑρήσομεν τὸν χορὸν καὶ τοὺς στεφάνους ἐκεῖθεν πλεκομένους, ἅπασι δῆλον ἂν γένοιτο πάντως, τὴν περὶ τουτουσὶ τοὺς λόγους διατριβὴν καὶ μελέτην ὁδὸν ἀσφαλῆ καὶ διάβασιν καὶ κλίμακα καὶ ὅ τί τις ἂν εἴποι, πρὸς τὴν μακαρίαν εἶναι ζωήν.

74 Περὶ τοῦ πρώτου μακαρισμοῦ, ὅτι ἡ ἐν πνεύματι πτωχεία διὰ τῆς εἰρημένης καταρθοῦται μελέτης.

Αὐτίκα γὰρ ἡ ἐν πνεύματι πτωχεία καὶ τὸ μὴ φρονεῖν, ᾗ φησι Παῦλος, ὑπὲρ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, τίνων γένοιτ' ἂν ἢ τῶν τὴν Ἰησοῦ πτωχείαν
75 ἐπισταμένων; ὃς καὶ φύσεως καὶ διατριβῶν μετέσχε τοῖς

---

72. Matth. 5, 3—11.

74. Hae octo capitulorum inscriptiones paene omnes in codd. margine eodem modo leguntur. Ceterum conf. Proleg. ubi de his macarismis eorumque explicatione antiquorum scriptorum locos congessimus. — Αὐτίκα γάρ. Om. C.

τηρίας ἡμῶν ἐκαινοτομήθη, τίς δὲ ἡ ῥᾳθυμία καὶ ὁ κατέχων ἡμᾶς ὕπνος! Εἴτε γὰρ ἡ ζημία τῶν τιμιωτάτων ἡμᾶς 84
λυπεῖ, καὶ ὧν ἀπολωλέκαμεν ἀγαθῶν ἡ μνήμη παρασκευάζει δακρύειν, ἐνταῦθα τὸν πλοῦτον μανθάνομεν, ὅσος ὃν ἐν χεροῖν ἔχοντες κατέχειν ἐξὸν ἔπειτα ῥίπτομεν, — εἴτε τὸ συνειδέναι πολλὴν ἡμῖν αὐτοῖς ἀγνωμοσύνην περὶ οὕτω φιλότιμον εὐεργέτην δάκνει καὶ τήκει τὴν ψυχήν, ἐντεῦθεν ἂν μάλιστα γένοιτο δῆλον, ὅση μὲν πρὸς ἡμᾶς ἐκεῖνος ἡμερότητι κέχρηται καὶ φιλανθρωπίᾳ, ὅσην δὲ πρὸς αὐτὸν ἡμεῖς ἐπιδεικνύμεθα ῥᾳθυμίαν. Πρῶτον μὲν γὰρ ἐξ οὐ- 85
ρανοῦ κατῆλθε ζητῶν, καὶ ὅπως συγγενὴ πρὸς ἡμᾶς ἀφήσῃ φωνὴν καὶ ὄψιν δείξῃ, πεποίηκεν, ὡς ἂν, εἴτε τὸν ὁμόφυλον στέργομεν εἴτε τὸν ἄριστον, ἀμφότερον αὐτὸς ᾖ καὶ δυοῖν τούτων, ἃ παντα χοῦ ποιεῖ φιλεῖν, ἐπ' αὐτοῦ συνελθόντων τὰ μέγιστα πρὸς ἔρωτα δυνηθῇ· ἔπειτα τὴν φιλίαν αὔξων κἀνεῖνο προσέθηκεν. Ἐπεὶ γὰρ φιλεῖ μὲν ἑαυτὸν ἕκαστος, φιλεῖ δὲ τὸν 86
ὁμόφυλον, ἀλλ' ὅσον ἑαυτῷ τις προσήκει μᾶλλον ἢ τοῖς ὁμοφύλοις, ἑαυτὸν στέργει μᾶλλον ἢ τὸν ὁμόφυλον, ὡς ἂν καὶ ταύτῃ τὸν βελτίω τοῦ φιλεῖσθαι κατάσχῃ τόπον, τὸ τῶν ἐφετῶν ἔσχατον, καὶ μὴ καθάπερ τοῖς ὁμοφύλοις χαίρομεν, ἀλλ' ὥσπερ ὑφ' ἡμῶν αὐτῶν φιλούμεθα, τοῦτον τὸν τρόπον αὐτὸς ὑπὸ πάντων ἔχῃ φιλεῖσθαι, — οὐκ ἠγάπησεν ἡμῖν ὁμόφυλος ὢν τῷ φύσεως μεταλαβεῖν τῆς αὐτῆς, ἀλλὰ καὶ ταὐτοῦ σώματος καὶ αἵματος καὶ πνεύματος ἡμῖν κοινωνήσας, ἵνα ὃ περὶ τῶν φίλων ἡ παροιμία φησὶν ὑπερβολῇ χρωμένη, τοῦτο πρὸς ἀλήθειαν αὐτὸς ἑκάστῳ γένηται τῶν προσκειμένων, ἄλλος αὐτός. Εἰ δ' ἐκεῖνος μὲν οὕτως 87
ἡμᾶς ἐζήτησε καὶ φιλίας οὐδένα παρῆκε τόπον ἀργὸν ἑαυτοῦ, ἀλλὰ καὶ τὸν εὐεργέτην ἔδειξε καὶ τὸν ἀδελφὸν καὶ ἡμῖν ὑπῆρξεν ἀντὶ ἡμῶν αὐτῶν, καὶ ταῦτα οὐ θελήσας οὐδὲ νεύματι μόνον, ἢ τὸν οὐρανὸν ἐποίησε τοῦτον, ἀλλ' ἱδρῶσι καὶ πόνοις, οὐδαμόθεν αὐτῷ προσῆκον, καὶ ἀγωνίᾳ καὶ ἀτιμίᾳ καὶ πληγαῖς καὶ τὸ

---

86. *ἢ τοῖς ὁμοφύλοις, ἑαυτὸν στέργει μᾶλλον.* **Desunt haec in A. B.**

80 *την ἐξενεχθήσεσθαι πονηρίαν. Καὶ τούτων μάρτυρες σαφεῖς οἱ πρὸς πάντα μὲν ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἀποδυσάμενοι πόνον, πάντων δὲ κακῶν ἔπειτα γενόμενοι τολμηταὶ, οἳ τὰ ὄρη κατειληφότες καὶ πάντα θόρυβον καὶ τὴν κοινὴν ζωὴν ὥσπερ κῆρας διαφυγόντες, ὥστε θεῷ μόνῳ προσέχειν, καὶ πάντα τὰ κάλλιστα, ὡς ἐξῆν ἀνθρώποις, κατωρθωκότες ὡς καὶ τὰ πάντων μέγιστα παρὰ τῷ θεῷ δυνηθῆναι, ὅτι τῆς πρὸς αὐτὸν ἐλπίδος μικρὸν ὑφῆκαν καὶ τοῦ πάντα ἐκείνῳ πιστεύειν, εὐθὺς τὰ αἴσχιστα πάντων ἐτόλμησαν καὶ μοχθηρίας ἐνέλιπον οὐδὲ*
81 *ἕν. Ἀντὶ τίνος τοίνυν ὑπάρξει μέγα φρονεῖν; ὑπὲρ τῶν κατωρθωμένων; — ἀλλ' οὐδὲν μέγα· ἀλλ' ὑπὲρ τῶν ἐν ἡμῖν μεγάλων; — ἀλλ' οὐχ ἡμέτερα· ἀλλ' ὅτι σεσώκαμεν ἅπερ ἐλάβομεν; — ἀλλὰ προδεδώκαμεν· ἀλλὰ τοῦ Χριστοῦ τὴν σφραγῖδα φέρομεν; — ἀλλὰ τοῦτ' αὐτὸ τεκμήριον, ὡς*
82 *οὐ φέρομεν. Τοῖς γὰρ ὑπερηφανοῖς οὐδὲν κοινὸν πρὸς ἐκεῖνον, ὃς πρᾶός ἐστι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ συμβαίνει παρὰ τοὺς λογισμοὺς τούτους, τὴν ὑπερηφανίαν αὐτὴν ἑαυτῇ περιπίπτειν καὶ φροῦδον ἑκατέρωθεν εἶναι τὸ πάθος. Εἴτε γὰρ ἃ δεῖ φρονοῦμεν, οὐ μέγα φρονοῦμεν, εἴτε μέγα φρονοῦμεν, τούτῳ δὴ τῷ μέγα φρονεῖν ἡμῶν αὐτῶν ἠσθημένοι Χριστοῦ πόρρω φέροντες καὶ ὄντες μηδὲν ὑγιὲς, ὡς ἐπὶ φαύλοις ἡμῖν αὐτοῖς οὐ μέγα φρονήσομεν.*

83 *Περὶ τοῦ δευτέρου μακαρισμοῦ, ὅτι τὸ κατὰ θεὸν πενθεῖν διὰ τῆς εἰρημένης κατορθοῦται μελέτης.*

Καὶ μὴν καὶ πενθεῖν ἀκόλουθον καὶ δακρύειν τοῖς τὰ Χριστοῦ μελετῶσιν εἴ τις λογίζοιτο, τίνα μὲν περὶ τῆς σω-

---

80. *οἱ πρὸς πάντα μὲν.* C. *πράγματα.* — *πάντα τὰ κάλλιστα.* A, B. om. *τά.* — *εὐθὺς τὰ αἴσχιστα.* B. *ἔσχατα.*

82. *οὐδὲν κοινὸν πρός.* C. *κοινὸν οὐδέν.*

τὸν ἄνθρωπον, — οἱ δὴ τούτων συνενεχθέντων ἔτι καθεύδοντες καὶ καθάπερ ἀνδριάντες πρὸς βροντὰς παθόντες οὐδὲν, τίνων οὐκ ἀθλιώτεροι; — Πῶς δὲ οὐ δίκαιοι, τὸν 90
ἅπαντα τοῦ βίου χρόνον πένθους ἡγεῖσθαι καιρόν; Τίνα γὰρ ἃ δακρύομεν; νόσος, — ἡμῖν δὲ οὐ νοσεῖ τῶν ἐν ἡμῖν τὸ βέλτιστον; ἀλλὰ πενία, — καὶ μὴν πολὺ χεῖρον ταύτῃ τῶν πενήτων πράττομεν, ὅσον ἀναγκαιότερος ἐνταῦθα καὶ πολὺ βελτίων ὁ πλοῦτος, καὶ πενίαν μὲν ἐπὶ τοῦ παρόντος ἀνάγκη πεπαῦσθαι, τουτὶ δὲ τὸ δεινὸν οὐ δύναται λύειν ἡ τελευτὴ, ἀλλ' ἀνάγκη καὶ πολλῷ μείζω ποιεῖν ἡμῖν ἐπὶ τοῦ μέλλοντος τὴν αἰσχύνην· ἀλλὰ μανία ἐλεεινόν· — τί οὖν; οὐ πονηρὸς ἡμῶν ἐλαύνει δαίμων τὴν γνωμὴν, ἧς τοσαύτην κατέχεεν ἄνοιαν; Εἰ γὰρ ἐπὶ ξίφει 91
χωρεῖν καὶ κατὰ κρημνῶν ἴεσθαι καὶ τοὺς φίλους ἀγνοεῖν καὶ τοῖς δυσμενεστάτοις προσπίπτειν, ταῦτα μαινομένων, οὐ τὸν φιλοῦντα φεύγομεν, οὐ τὸν ἐχθρὸν οἷς ποιοῦμεν ζητοῦμεν; οὐκ ἐπὶ τὴν γέενναν σπεύδομεν πάντα ποιοῦντες, ἃ πρὸς ἐκείνην ὠθεῖ; Οὕτω μὲν τοίνυν ἡμῖν αὐτοῖς τὰ 92
πάνδεινα συνειδόσι δακρύειν ἀκόλουθον καὶ πενθεῖν· ταῦτα δὲ γένοιτ' ἂν ἡμῖν αὐτοῖς συνεγνωκέναι καὶ τὰ ὄντα δοξάζειν καὶ μὴ καὶ τοῦτο δυστυχεῖν, ἢ κακῶν ἐσμὲν ἀγνοοῦσιν, ἐὰν τὴν εὐεξίαν καὶ τὸν πλοῦτον εἰδῶμεν καὶ τὸ σωφρονεῖν, ὧν ἡμῖν ὑπὸ τοῦ Χριστοῦ μηδὲν πονήσασι κατεσκευασμένων τυγχάνειν ἔξεστιν εἰσάγοντας οὐδὲν πλέον ἢ βουλομένους. Τοῦτο γὰρ ἂν δάκοι μᾶλ- 93
λον καρδίαν, ἐξὸν εὐδαιμονεῖν αἱρεῖσθαι δυστυχεῖν, καὶ

---

90. *Πῶς δὲ οὐ δίκαιοι.* Fort. leg. *δίκαιον.*

91. *ἐπὶ ξίφει χωρεῖν.* B. *ξίφους.* Simili modo reperitur *ξίφων ἐπιβαίνειν*, super gladios ambulare, de re absurda atque impossibili. Heliodor. III, 17: *κἂν εἰ ξιφῶν ἐπιβαίνειν κελεύοιμι.* Steph. s. v. *ξίφος.*

92. *ταῦτα δὲ γένοιτ' ἄν.* „Inde vero nobis contigerit conscios esse nostrum recteque aestimare, quae vera sunt, neque in eo etiam labi, ut nostram ipsorum pravitatem ignoraremus, si sciamus etc.“

τελευταῖον θανάτῳ, ἡμεῖς δ' οὐ μόνον οὐδ' ἠστινοσοῦν μεμνήμεθα χάριτος πρὸς τὸν οὕτω παντοδαπῶς ἡμῖν ἀγαθὸν οὐδὲ ζητοῦμεν οἷς ἀμειψόμεθα, ἀλλ' οὕτω σκαιῶς ἔχομεν, ὥστε οἷς ἀπεχθάνεται προσκείμεθα, καὶ ὧν ἀπάγει, τούτων ἐχόμεθα, καὶ πρὸς ἃ προτρέπεται, ταῦτα φεύγομεν,
88 καὶ οὕτως ἄτοπον ἐπιδεικνύμεθα πονηρίαν· — τίνων οὐ θρήνων ἄξιοι καὶ δακρύων, οἳ τἆλλα μὲν λόγου τινὸς ἐνομίσαμεν, τὸν σωτῆρα δὲ καὶ τἀκείνου περιορῶμεν, ὥσπερ ἄλλοις προσῆκον ζητεῖν, ἢ μὴ περὶ ἡμᾶς τῆς ἀφάτου γενομένης ἐκείνου προνοίας καὶ τοῖς μὲν ἐπισημοτάτοις ἃ δεῖ χρῆσθαι πρὸς ἡμῶν ἡγούμεθα, καὶ μὴν καὶ λόγοις καὶ ἔργοις καὶ τέχναις ἁπάσαις καὶ πᾶσι τοῖς παρὰ τὸν βίον, κἂν γεωργῆσαι κἂν στρατηγῆσαι δέῃ, κἂν ὁτιοῦν εἰς τὸ κοινὸν πολιτεῦσαι, κἂν αὐτόν τινα πράττειν ἐφ' ἑαυτοῦ, τὸ εἰκὸς ζητοῦμεν ἑκασταχοῦ, καὶ τοῦ χρόνου τὸν καιρὸν ἐπαινοῦμεν, καὶ ὅλως τὸ γιγνόμενον καὶ τὸ εἰκὸς καὶ τὸ δίκαιον καὶ τοῦτο δὴ τοὔνομα πανταχοῦ πολὺ παρ' ἡμῶν, μόνων δὲ πέρι τῶν ὡς ἀληθῶς ἡμετέρων, ὅπως ἢ προσῆκε φυλάξομεν, καὶ δι' ὧν ἂν ἡμῖν αὐτοῖς τὸ δίκαιον ἀποδοῖμεν, ἥκιστα δὴ πάντων σκοποῦμεν, ὥσπερ τῶν ἄλλων
89 ἁπάντων χείρους ἡμᾶς αὐτοὺς ἡγούμενοι; Εἰ μή τι ἄλλο, πρὸς γοῦν τὴν καινοτομίαν ἐπιστραφέντες, ἣ πάντα ἔσεισε καὶ μετήγαγεν, ἐν ᾗ τὰ μὲν ὑπὲρ τὸν οὐρανὸν οἱ πυθμένες τῆς γῆς εἶδον, γῆ δὲ αὐτὸν ὑπερέβη τὸν οὐρανὸν, καὶ δεσμώτης μὲν ὁ κοινὸς τοῦ κόσμου τύραννος, οἱ δεδεμένοι δὲ τοῦ τυράννου πατοῦσι τὴν κεφαλὴν, καὶ σῶμα θεὸς ἑωρᾶτο φέρων καὶ τοῦτο πληγαῖς εἶκον, καὶ αἷμα καὶ τοῦτο χέων ἐπὶ σταυροῦ, καὶ αὖ νεκρὸς ἀνθρώπου σείων τὴν γῆν καὶ νεκροῖς ζωὴν ἐπανάγων, ὧν ἔργον οὐδὲν ἢ τὸν δεσπότην ἐπιγνῶναι καὶ τῆς γῆς ἀναστῆναι καὶ πρὸς οὐρανὸν βλέψαι

---

87. τὸ τελευταῖον θανάτῳ. A. B. om. τό, et ante ἠστινοσοῦν iidem om. οὐδ'.

88. κἂν ὁτιοῦν εἰς τὸ κοινὸν πολιτεῦσαι. Desunt haec in C.

89. ᾗ πάντα ἔσεισε. B. ἐν ᾗ.

τὸν ἄνθρωπον, — οἱ δὴ τούτων συνενεχθέντων ἔτι καθεύδοντες καὶ καθάπερ ἀνδριάντες πρὸς βρουτὰς παθόντες οὐδὲν, τίνων οὐκ ἀθλιώτεροι; — Πῶς δὲ οὐ δίκαιοι, τὸν 90
ἅπαντα τοῦ βίου χρόνον πένθους ἡγεῖσθαι καιρόν; Τίνα γὰρ ἃ δακρύομεν; νόσος, — ἡμῖν δὲ οὐ νοσεῖ τῶν ἐν ἡμῖν τὸ βέλτιστον; ἀλλὰ πενία, — καὶ μὴν πολὺ χεῖρον ταύτῃ τῶν πενήτων πράττομεν, ὅσον ἀναγκαιότερος ἐνταῦθα καὶ πολὺ βελτίων ὁ πλοῦτος, καὶ πενίαν μὲν ἐπὶ τοῦ παρόντος ἀνάγκη πεπαῦσθαι, τουτὶ δὲ τὸ δεινὸν οὐ δύναται λύειν ἡ τελευτὴ, ἀλλ' ἀνάγκη καὶ πολλῷ μείζω ποιεῖν ἡμῖν ἐπὶ τοῦ μέλλοντος τὴν αἰσχύνην· ἀλλὰ μανία ἐλεεινόν· — τί οὖν; οὐ πονηρὸς ἡμῶν ἐλαύνει δαίμων τὴν γνωμὴν, ἧς τοσαύτην κατέχεεν ἄνοιαν; Εἰ γὰρ ἐπὶ ξίφει 91
χωρεῖν καὶ κατὰ κρημνῶν ἴεσθαι καὶ τοὺς φίλους ἀγνοεῖν καὶ τοῖς δυσμενεστάτοις προσπίπτειν, ταῦτα μαινομένων, οὐ τὸν φιλοῦντα φεύγομεν, οὐ τὸν ἐχθρὸν οἷς ποιοῦμεν ζητοῦμεν; οὐκ ἐπὶ τὴν γέενναν σπεύδομεν πάντα ποιοῦντες, ἃ πρὸς ἐκείνην ὠθεῖ; Οὕτω μὲν τοίνυν ἡμῖν αὐτοῖς τὰ 92
πάνδεινα συνειδόσι δακρύειν ἀκόλουθον καὶ πενθεῖν· ταῦτα δὲ γένοιτ' ἂν ἡμῖν αὐτοῖς συνεγνωκέναι καὶ τὰ ὄντα δοξάζειν καὶ μὴ καὶ τοῦτο δυστυχεῖν, ἢ κακῶν ἐσμὲν ἀγνοοῦσιν, ἐὰν τὴν εὐεξίαν καὶ τὸν πλοῦτον εἰδῶμεν καὶ τὸ σωφρονεῖν, ὧν ἡμῖν ὑπὸ τοῦ Χριστοῦ μηδὲν πονήσασι κατεσκευασμένων τυγχάνειν ἔξεστιν εἰσόγουντας οὐθὲν πλέον ἢ βουλομένους. Τοῦτο γὰρ ἂν δάκοι μᾶλ- 93
λον καρδίαν, ἐξὸν εὐδαιμονεῖν αἱρεῖσθαι δυστυχεῖν, καὶ

---

90. *Πῶς δὲ οὐ δίκαιοι.* Fort. leg. *δίκαιον.*

91. *ἐπὶ ξίφει χωρεῖν.* B. *ξίφους.* Simili modo reperitur *ξίφων ἐπιβαίνειν*, super gladios ambulare, de re absurda atque impossibili. Heliodor. III, 17: *κἂν εἰ ξιφῶν ἐπιβαίνειν κελεύοιμι.* Steph. s. v. *ξίφος.*

92. *ταῦτα δὲ γένοιτ' ἄν.* „Inde vero nobis contigerit conscios esse nostrum recteque aestimare, quae vera sunt, neque in eo etiam labi, ut nostram ipsorum pravitatem ignoraremus, si sciamus etc.“

ζῆν ἐν φωτὶ δυναμένους ἐν σκότει καθημένους ἀνέχεσθαι. Ταῦτα δὲ οὐ τοῖς ῥᾳθύμως ἔχουσι μόνον ἐμβάλει δακρύου, ἀλλὰ καὶ τοῖς σπουδαιοτάτοις καὶ μάλιστα τούτοις, ὅσῳ
94 καὶ μείζονος αἰσθάνονται τῆς ζημίας. Καὶ γὰρ καὶ ταῦτα καὶ τὰ τούτων ἔτι χείρω·καταψηφίζονται σφῶν αὐτῶν (καὶ τιμῶσιν αὐτοῖς τῶν ἐσχάτων), ἐπειδὰν ἐνθυμηθῶσι θεὸν ἐπὶ σταυροῦ γυμνὸν σφαττόμενον, ᾧ πάντα δουλεύει, καὶ τὴν ἀντίστροφον παρ' ἡμιῶν εἰσπραττόμενον ἀμοιβήν, ἀνθ' ὧν ἀνθρώπου θεὸς ὢν αὐτὸς ἐδέξατο φύσιν, γενέσθαι θεοὺς ἡμᾶς ἐξ ἀνθρώπων, καὶ τῆς μὲν γῆς τὸν οὐρανόν, τῆς δὲ δουλείας τὴν βασιλείαν, τῆς δὲ συνούσης ἀδοξίας τὴν ἀληθινὴν ἀλλάξασθαι δόξαν, ὑπὲρ ὧν ὁ τῶν οὐρανῶν τεχνίτης ἐνεδύσατο γῆν, καὶ ὁ μὲν φύσει δεσπότης ἐν δούλου μορφῇ, ὁ δὲ τῆς δόξης βασιλεὺς ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας.

95 Περὶ τοῦ τρίτου μακαρισμοῦ, ὅτι καὶ τὸ πράους εἶναι ἀπὸ τῆς εἰρημένης κατορθοῦται μελέτης.

Πραότητος δὲ καὶ τοῦ θυμοῦ κρατεῖν καὶ μὴ πρὸς τοὺς λελυπηκότας χαλεπῶς ἔχειν, πολλῶν ὄντων, δι' ὧν τὴν ἀληθῆ φιλοσοφίαν ὁ σωτὴρ εἰσήνεγκεν εἰς τὸν κόσμιον, τὰ πλεῖστα πάντων καὶ μέγιστα προστέθεικε παραδείγματα
96 καὶ οἷς ἐποίησε καὶ ὧν ἠνέσχετο πάσχων. Αὐτίκα γὰρ ὑπὲρ τῶν λελυπηκότων αἵματος ἠνέσχετο καὶ σαρκὸς, καὶ τούτους ἦλθε λῦσαι ζημῶν, οἷς τὰ δεινότατα πάντων εἶχεν ἐγκαλεῖν, καὶ παρ' ὧν ἔπειτα ταῖς εὐεργεσίαις, αἷς τὴν φύσιν ἐπηνώρθου, τῶν βασκάνων ἐπιθεμένων οὐκ ἀνῆκεν εὐεργετῶν· ἀλλ' ὅτι τοὺς δαίμονας ἐξέβαλλε τῶν ἀνθρώπων Βεελζεβοὺλ καὶ δαιμονίων ἄρχων,

---

94. *Καὶ τιμῶσιν αὐτοῖς τῶν ἐσχάτων.* **Haec h. unus C.**

95. *Περὶ τ. τρ. — πράους εἶναι.* **C.** *πραεῖς,* **idem add.** *καὶ θυμοῦ κρατεῖν. — Πραότητος δέ.* **B. add.** *πέρι.*

96. *καὶ παρ' ὧν ἔπειτα.* **Nihil hic videtur excidisse, quamquam cod. C. ante** *ἔπειτα* **duorum fere verborum lacunam habet.**

καὶ τὰ δεινότατα πάντων ἀκούων οὐδὲν ἧττον ἤλαυνε, καὶ τῶν μαθητῶν ἕνα πρὸς αὐτὸν διαφθαρέντα τοσοῦτον ἀπέσχεν ἐκβαλεῖν τοῦ χοροῦ, ὥστε καὶ συνῆν, ἃ συνεῖναι φίλοις εἰκὸς, καὶ ἁλῶν ἐκοινώνει τῷ φονευτῇ καὶ τῶν ἀποῤῥήτων τῷ προδότῃ καὶ τῶν αἱμάτων αὐτῶν καὶ τελευταῖον παρέσχε περιβαλεῖν καὶ φιλῆσαι, καὶ τὰ μὲν πάντων καινότατα ἐτολμᾶτο. Ὑπὲρ ὧν εὖ πεποίηκεν, ἀπέ- 97
θνησκεν· αὐτοὶ τὸ ξίφος ὤθησαν οἱ παθόντες εὖ, ὁ φίλος τοῦ φόνου τοῖς φονευταῖς ἡγήσατο· τὸ φίλημα ἦν τοῦ φόνου σύνθημα, καὶ ὁ ταῦτα πάσχων οὕτως ἡμέρως εἶχε καὶ φιλανθρώπως, ὥστε ὑπό του τῶν μαθητῶν πληγέντος τῶν κυνῶν ἐκείνων ἑνὸς αὐτὸν τὴν πληγὴν μὴ παραδραμεῖν, ἀλλ' εὐθὺς ἰάσασθαι τοῦ μέλους ἁψάμενον· καὶ οὕτω σημεῖον ἐξενεγκὼν τῆς τε ὑπερφυοῦς ἰσχύος καὶ ἡμερότητος τῆς ἐσχάτης οὔτε ταύτην φοβηθέντας οὔτ' ἐκείνην αἰδεσθέντας οὐκ ἀπώλεσεν οὐδὲ πῦρ ὗσε τοῖς μιαροῖς οὐδὲ κεραυνοῖς ἔβαλε, δικαίους ὄντας καὶ τούτων καὶ εἴ τι χεῖρον. Ἀλλ' ὁ μὲν τῶν ἀγγέλων χορὸς ἀδεῶς οὐδὲ προσ- 98
βλέπειν εἶχεν αὐτῷ, τοῖς δὲ ἕλκουσιν ἠκολούθει καὶ παρεῖχε συνδῆσαι χεῖρας, αἷς ὑπεχώρει δεσμὰ νόσου καὶ δαιμόνων ἐλύετο τυραννὶς, καὶ παίσαντα κατὰ κόῤῥης αὐτὸν τὸν κάκιστ' ἀπολλύμενον δοῦλον ἑξὸν οὐ διέφθειρεν, ἀλλ' ἠπίως μάλα καὶ φιλανθρώπως λόγων ἠξίου καὶ διωρθοῦτο τὴν γνώμην τό γ' ἐπ' αὐτῷ. Εἶτα θανάτου τιμη- 99
σάντων αὐτῷ τῶν μιαρῶν δικαστῶν σιωπῇ φέρει τὴν ψῆφον, καὶ δεξάμενος τὸ τίμημα καὶ προσηλωθεὶς ἤδη τῷ ξύλῳ τὸ πρὸς τοὺς φονευτὰς οὕτως οὐ διέλυσε φίλτρον, ὥστε τοῦ γεγεννηκότος ἐδεῖτο τοῦ πρὸς τὸν μονογενῆ τολμήματος μηδεμίαν παρ' αὐτῶν εἰσπράξασθαι δίκην, καὶ

---

97. *καὶ οὕτω σημεῖον ἐξενεγκών.* **Correxi codicum lectionem omnino falsam** *ἐξενεγκόντος.* — *δικαίους ὄντας καὶ τούτων*, **i. e.** *ἀξίους.* **Apud classicos scriptores** *δίκαιος* **in hac significatione cum Verbo conjungi solet, v. c.** *δικαιός εἰμι ἀπολωλεκέναι, κολάζεσθαι.*

99. *οὐ διέλυσε.* **C.** *οὐδ' ἔλυσε.* — **100. Luc. 23, 34.**

οὐ παρῃτεῖτο περὶ αὐτῶν μόνον, ἀλλ' ἤδη καὶ ἀπολογεῖτο, καὶ ἦν ἡ φωνὴ τῆς ἀπολογίας σφόδρα περικαιομένου καὶ
100 ἐλεοῦντος. „Ἄφες γὰρ αὐτοῖς φησι πάτερ, οὐ γὰρ οἴδασι τι ποιοῦσι“· καὶ καθάπερ πατὴρ φιλόστοργος ἀφραίνοντας διὰ τὴν ἡλικίαν παῖδας οἰκτείρων, ἥμερον αὐτοῖς εἰργάζετο τὸν σωφρονιστήν· καὶ τότε μὲν μετὰ τούτων ἀπέθνησκε
101 τῶν φωνῶν. Ἐπεὶ δὲ ἀνεβίω καὶ τῆς ἑορτῆς ἔδει κοινωνοὺς λαβεῖν τῶν ἐπιτηδείων, οἷς ἐνέμεινεν ἡ γνώμη, μὴ μνησικακήσας ὑπὲρ ὧν ἔλιπον αὐτὸν φυγόντες ἐν μεσημβρίᾳ κινδύνων, τοὺς μαθητὰς συνεκάλει καὶ μηνύσας, οἷ δεῖ γενομένους αὐτῷ συνελθεῖν, ἐπεὶ συνῆλθε φανείς, οὐ προφέρει τὴν φυγὴν οὐδὲ φαίνεταί που πρὸς αὐτοὺς τοιούτου δή τινος μεμνημένος, καὶ ὡς ἰσχυρίσαντο μὲν αὐτῷ θανάτου πάντες κοινωνήσειν καὶ τῶν ἐσχάτων, οἱ δ' οὐδὲ τὴν θέαν ἤνεγκαν, καὶ ταῦτα οὐδὲ παρόντων ἀλλ' ἔτι μελλόντων τῶν δεινῶν, — ἀλλ' εἰρήνης καὶ πνεύματος ἁγίου καὶ τῶν τοιούτων αὐτοῖς μεταδοὺς τὴν τῆς οἰκουμένης ἔπειτα πάσης ἐπιτρέπει κηδεμονίαν, καταστήσας αὐτοὺς ἄρχοντας ἐπὶ
102 πᾶσαν τὴν γῆν. Καὶ ταῦτα μὲν εἴργαστο κοινῇ τὸν χορὸν, τὸν δὲ κορυφαῖον αὐτὸν πολλάκις ἤδη τὸ πρὸς αὐτὸν προδεδωκότα φίλτρου καὶ τὴν στοργὴν ἠρνημένον ὁποῖα; Οὐ γὰρ μόνον τὴν ἄρνησιν οὐκ εἰς μέσον ἤγαγεν οὐδ' ἀνέμινησε τῶν συνθηκῶν, ἐν αἷς ἀπώμοτον ἦν αὐτῷ, τὸ μὴ μεταστῆναι τοῦ θανάτου τῷ διδασκάλῳ, ὧν αὐτίκα παραβάτης ἦν οὐδὲ μικρὸν διαλιπὼν χρόνον, ἀλλὰ καὶ τοὺς ἀγγελοῦντας τὴν ἀνάστασιν πέμψας χωρὶς τῶν ἄλλων αὐτῷ, καὶ ταύτῃ τιμήσας ὁ δὲ καὶ συνελθὼν τὰ φιλικὰ διελέχθη καὶ πυθάνεται τὸν ἑαυτοῦ πόθον, εἰ μείζων ἢ παρὰ τοῖς
103 ἄλλοις τῶν ἑταίρων ἐστὶν ἐν αὐτῷ. Καὶ τοῦ Πέτρου φιλεῖν εἰπόντος ἔτι ταὐτὸ πυθάνεται, καὶ τὸ φιλῶ σε πάλιν ἀκούσας ἀνείρετ' αὖθις εἰ φιλοῖτο, καὶ οὐκ ἂν ἐμοὶ δοκεῖν ἐρωτῶν ἀνῆκε πολλάκις, εἰ μὴ Πέτρος ἀπεῖπεν ἀνιαθεὶς, εἰ

---

102. *κοινῇ τὸν χορόν.* B. *τήν.* Conf. Marc. 16. Joh. 21. *Οὐ γὰρ μόνον τ. ἄρνησιν.* C. *ὅσον.*

πρὸς τὸ μαθεῖν ὅτι φιλοῖτο, πολλῶν δέοιτο λόγων πάντα εἰδώς
Καίτοι ταῦτα ἦν οὔτε τὸν φίλον ἀγνοοῦντος οὔτε τὸν ἀγνο- 104
οῦντα πλαττομένου, τὸ μὲν γὰρ ἦν πλανᾶσθαι, τὸ δ' ἀπατᾶν,
ὧν οὐδέτερον τῆς εἰλικρινοῦς ἀληθείας· ἀλλὰ τοῦτο μὲν ἐκεῖνο
δεικνύντος, ὡς οὐ μνησικακῶν εἴη τῶν προτέρων ὁμολογιῶν
πεπατημένων, οὐ γὰρ ἂν ἐζήτει δευτέρας, τοῦτο δὲ τὸ φίλτρον
ἀνάπτοντος τῷ Πέτρῳ κινδυνεῦσαν ἤδη σβεσθῆναι μικροῦ.
Τὸ γὰρ τοιαύτας μὲν πεύσεις προσάγειν, πρὸς τοιαύτας 105
δὲ παρακαλεῖν ἀποκρίσεις, πρὸς ἑταιρίαν παντὸς δύναται
μᾶλλον, καὶ μνήμη τῶν φιλικῶν καὶ τὸ περὶ τούτων τι
λέγειν οὐχ ὅσον μείζω πεποίηκεν οὖσαν, ἀλλὰ καὶ μήπω
φῦσαν ἐδυνήθη τεκεῖν. Εἶεν. Οὕτω μὲν οὖν ὁ σωτὴρ ἐπὶ 106
τῶν ἔργων ἐκβάλλων φαίνεται τὴν ὀργήν· διδάσκοντι δὲ
καὶ νομοθετοῦντι ἆρ' ἔστιν ὃ πρὸ τῆς πραότητός ἐστιν
αὐτῷ; Καὶ γὰρ καὶ προσευχὴν αὐτὴν καὶ θυσίαν μὴ ἂν
προσέσθαι φησιν, ἢν ὀργίλως ἔχοντες ἢ θύωμεν ἢ προσευ-
χώμεθα, καὶ ἄφεσιν ἁμαρτιῶν, τὸ κοινὸν ἅπασι δῶρον
(ὃ κομίζων ἦκεν ἐξ οὐρανοῦ), τοῖς ὑπὲρ ἑαυτῶν ὀργιζομέ-
νοις οὔποτε δώσειν, κἂν ὑπὲρ τούτου πάντα ποιῶμεν, κἂν
ποταμοὺς ἱδρώτων καὶ δακρύων χέωμεν, κἂν αὐτὸ ξίφει
καὶ πυρὶ προδῶμεν τὸ σῶμα. Τοσούτου τινὸς ἄγων 107
φαίνεται πραότητα, καὶ οὕτως ἀκόλουθον, τοὺς τὰ
ἐκείνου λογιζομένους τὴν καρδίαν πρὸς τοὺς ἀνιῶντας
ἥμερον ἔχειν, ὃ καὶ δεικνὺς ἂν ἐμὲ γνῶτέ φησιν, ὅπως
ἠμερότητος ἔχω, καὶ ὑμῖν κατάστασις ἡ καρδία. „Μάθετε
γάρ φησιν ἀπ' ἐμοῦ, ὅτι πρᾶος εἰμι καὶ ταπεινὸς τῇ καρ-
δίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν." Ἔτι δὲ 108
καὶ τόνδε τὸν τρόπον τῆς περὶ τοῦ Χριστοῦ μελέτης ἡ πραότης
γένοιτ' ἂν ἔργον. Τῆς μὲν γὰρ ἱερᾶς τραπέζης ἀνάγκη
λαβεῖν ἔρωτα τὸν ἐν τούτοις ζῶντα τοῖς λογισμοῖς· ταύ-
της δὲ οὐκ ἐξὸν τυγχάνειν μνησικακοῦντα πρὸς πᾶσαν

---

106. *μὴ ἂν προσέσθαι.* Matth. 5, 23. 24; 18, 21—35. — *ὃ κομίζων — οὐρανοῦ.* Desunt haec in A. B.

107. *Μάθετε γάρ.* Matth. 11, 29.

ὀργὴν, οὗτος στήσεται καὶ μίσους τηρήσει καθαρὰν τὴν
109 ψυχήν. Τὸ γὰρ αἷμα τοῦτο πρὸς διαλλαγὰς χεθὲν ἐξ
ἀρχῆς οὐκ ἀνάσχοιτ' ἂν δικαίως τῶν ὀργῇ καὶ θυμῷ
δουλευόντων· εἰ γὰρ καὶ φωνὴν πρὸς τὸν πατέρα περὶ τῶν
μιαιφόνων ἀφῆκε καθάπερ τὸ Ἄβελ αἷμα χεθὲν, ἀλλ' οὐκ
ἐγράψατο παρ' αὐτῷ τοὺς ἠδικηκότας οὐδὲ δίκας ἀπῄτησεν,
ὥσπερ ἐκεῖνο τὸν ἀδελφὸν, καὶ γὰρ ἀπελύετο καὶ ἡ τοῦ
σφαγέντος φωνὴ συγγνώμην εἶχε τοῖς φονευταῖς.

110 Περὶ τοῦ τετάρτου μακαρισμοῦ, ὅτι ἡ δικαιοσύνη
διὰ τούτων τῶν λογισμῶν κατορθοῦται.

Ἔτι δὲ καὶ δικαιοσύνης ἐργάται διαφερόντως ἁπάν-
των οἱ μετὰ τούτων ζῶντες τῶν λογισμῶν, ἐν οἷς ὁ τοῦ
κόσμου δεσπότης οὕτω φαίνεται τιμήσας δικαιοσύνην, ὥστε
μετὰ τῶν δούλων ἦν (μετὰ τῶν κατακρίτων), μετὰ τῶν
σφαττομένων, μετὰ τῶν νεκρῶν, ἵνα πᾶσι τὸ δίκαιον
ἀποδῷ· καὶ τῷ μὲν πατρὶ τὴν δόξαν καὶ τὴν ὑπακοὴν,
ἣν πόρρωθεν προσῆκον οὐδεὶς εἰσενεγκεῖν εἶχε, τῷ πυράννῳ
δὲ τὰ δεσμὰ καὶ τὸ περιορᾶσθαι καὶ τὴν αἰσχύνην, ᾧ
λύει τὴν ἄδικον ἀρχὴν καὶ νόθον ἀψάμενον τῶν ἡμετέρων
ἐξήλασε κρίσει κατενεγκὼν καὶ δικαιοσύνῃ.

111 Περὶ τοῦ πέμπτου μακαρισμοῦ, ὅτι ἡ ἐλεημο-
σύνη διὰ τούτων τῶν λογισμῶν κατορθοῦται.

Ἔλεον δὲ καὶ τὸ κοινωνεῖν ὀδύνης ἀλγοῦσι καὶ τὰ
δυσχερῆ τοῖς ἄλλοις αὐτοῦ νομίζειν κακὰ, πόθεν ἑτέρω-
θεν, εἰ μὴ τούτων ἄν τις λάβοι τῶν λογισμῶν, ἐν οἷς
ἡμᾶς αὐτοὺς ὁρῶμεν ἥκιστα δικαίους ὄντας ἐλέου, παρὰ

110. *μετὰ τῶν κατακρίτων.* Om. A. B. — *κατενεγκὼν καὶ δικ.* C. *δικαιοσύνης.*

πᾶσαν προσδοκίαν ἐλευμιένους, τὴν αἰχμαλωσίαν ἐκείνην, τὴν δουλείαν, τὰ δεσμὰ, τὴν τοῦ δουλωσαμένου μανίαν· καὶ ὡς τῷ μὲν ὅρος τῶν εἰς ἡμᾶς κακῶν οὐδεὶς ἦν, ἀλλ' ἀεὶ χαλεπωτέρου καὶ χείρονος ἐπειρώμιεθα τοῦ τυράννου, ἡμῖν δὲ πανταχόθεν ἀμηχανία καὶ ἐρημία τοῦ δοῦναι χεῖρά τινα δυναμιένου· καὶ τῷ μὲν χρῆσθαι τῇ γνώμῃ 112
καθ' ἡμιῶν ἐξῆν καὶ ἠγόμιεθα καθάπερ ἐωνημιένῳ πεπραμένοι, ἡμῖν δὲ παραμυθία τῶν δεινῶν οὐδὲ φάρμακον οὐδὲν ἦν, οὐκ οἴκοθεν οὐχ ἑτέρωθεν, οὐ τῶν ὑπὲρ ἡμᾶς οὐ τῶν ὁμοφύλων, ἀλλ' ἐπίσης ἅπασιν ἐν καιρῷ γενέσθαι τῇ φύσει τῶν ἀνθρώπων ἄπορον ἦν. Καὶ τί λέγω φάρμακον, οἷς οὐδὲ μνησθῆναι τοῦ ἰατροῦ καθαρῶς ἐξῆν οὐδὲ δεηθῆναι! Οὕτω τοίνυν ἀθλίως διακειμιένους οὐ πρέσβυς οὐδὲ 113
ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος, ᾧ πολεμιοῦντες ἥμιεν, εἰς ὃν ὑβρίζομιεν παρανομιοῦντες, αὐτὸς ἠλέησεν οἰκτον ἀήθη καὶ λόγου μιείζω καὶ παρὰ πᾶν τὸ ἐπὶ τούτοις εἰκός. Οὐ γὰρ ἐβουλήθη τῶν κακῶν ἡμῖν τὴν ἀπαλλαγὴν μόνον, οὐ δ' οἰκεῖον ἐνόμισε τὸ ἄλγος, ἀλλ' ἐποιήσατο καὶ μετέστησεν ἀφ' ἡμιῶν εἰς ἑαυτὸν τὰς ὀδύνας, δεξάμενος αὐτὸς ἐλέου φανῆναι πράττων ἀξίως, ἵν' ἡμιᾶς ἐργάσηται μακαρίους. Καὶ γὰρ „ἐν ταῖς ἡμιέραις τῆς σαρκὸς αὐτοῦ" Παῦλος εἶπε 114
τῶν ἐλευμιένων πολλοῖς ἔδοξεν εἶναι, καὶ ἠλεήθη τὸν ἄδικον θάνατον ἀποθνήσκων. Καὶ „ἐκόπτοντο γάρ φησι καὶ ἐθρήνουν" ἐπ' αὐτῷ τὴν ἐπὶ θάνατον ἀγομιένῳ· καὶ οὐ τοῖς ἐπ' ἐκείνου μιόνον καὶ θεωμιένοις τὸ πάθος, ἀλλ' ἤδη καὶ Ἡσαΐας πόρρωθεν ἰδὼν ἀδακρυτὶ τὴν θέαν οὐκ ἤνεγκεν, ἀλλ' ὡς ἐπὶ νεκρῷ μονῳδῶν ἐλέου γέμιουσαν ἀφῆκε φωνήν· „εἴδομιεν αὐτόν φησι, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμιον, ἐκλεῖπον τὸ εἶδος αὐτοῦ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων." Τί τῆς συμπαθείας ταύτης 115

---

112. καὶ ἠγόμεθα καθάπερ. B. ἠγούμεθά περ. — ἀνθρώπων ἄπορον ἦν. B. ἀποῤῥόν.

114. καὶ ἠλεήθη. C. add. γε. Hebr. 5, 7. Luc. 23, 27. — εἴδομεν αὐτόν. Jes. 53, 2. 3.

γένοιτ' ἂν ἶσον, εἰ μὴ λογισμοῖς καὶ θελήσει κοινωνεῖ τοῦ πάθους τοῖς δυστυχέσιν ἀλλ' αὐτοῖς πράγμασι, καὶ οὐδ' ἀνέχεται μερίτης εἶναι τῶν δυσχερῶν, ἀλλ' εἰς ἑαυτὸν το πᾶν ἀναιρεῖται καὶ τὸν ἡμέτερον θάνατον ἀποθνήσκει; Τούτων τῶν λόγων εἰς τὸν τῶν ὁμοφύλων οἶκτον τί ἂν
116 ἐπισπάσαιτο μᾶλλον; Εἰ γὰρ τὸ φθάσαντας παθεῖν τῶν δυσχερῶν ὁτιοῦν ἱλέως ἐργάζεται τοῖς ἄρτι τὰ ἴσα κακοπαθοῦσιν οἰκειουμένους τὰς συμφορὰς, τί τῶν δεινῶν οὐ πεπόνθαμεν; οὐκ ἀπόπτωσιν πατρίδος τῆς ὡς ἀληθῶς ἡμετέρας; οὐ πενίαν, οὐ νόσον; (οὐ τὴν χαλεπωτάτην δουλείαν) οὐ τὴν ἐσχάτην μανίαν; καὶ τούτων ἀπηλλάξαμεν
117 πάντων διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν. Οὐκοῦν καὶ ἡμεῖς ἐλεοῖμεν ἄν, εἴ τις καθ' ὁτιοῦν τούτων πράττει κακῶς καὶ τὸν οἶκτον ἀποδοῖμεν τοῖς ὁμοδούλοις, οὗπερ ἡμῖν ὁ κοινὸς ὑπῆρξε δεσπότης. Καὶ τοῦτο δηλῶν ὁ σωτὴρ, ὡς ἄρα δεῖ πρὸς τοὺς ὁμοφύλους ἡμέρως ἔχειν εἰς παράδειγμα τὴν θείαν ἀφορῶντας φιλανθρωπίαν, „γίνεσθέ φησιν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.“

Περὶ τοῦ ἕκτου μακαρισμοῦ, ὅτι ἡ τῆς καρδίας
118 καθαρότης ἀπὸ τῆς εἰρημένης κατορθοῦται μελέτης.

Τό γε μὴν καθᾶραι καρδίαν καὶ πρὸς ἁγιασμὸν τὴν ψυχὴν ἀσκῆσαι, τίνος ἀγῶνος ἢ σπουδῆς ἢ τίνων ἱδρώτων μᾶλλον ἢ τῶν ἐννοιῶν τούτων καὶ τῆς μελέτης γένοιτ' ἂν ἔργον; ὅ γε οὐδ' ἔργον ἄν τις εἴποι τῆς περὶ Χριστοῦ μελέτης, ἀλλ' αὐτὴν ἄντικρυς εἶναι τὴν μελέτην, σκοπῶν
119 ἀκριβῶς. Πρῶτον μὲν γὰρ τὸ συνεῖναι τῶν λογισμῶν τοῖς ἀρίστοις, τῶν φαύλων ἐστὶν ἀφε-

---

115. ἀλλ' αὐτοῖς πράγμασι. A. τοῖς πράγμασι.
116. οὐ τὴν χαλεπ., δουλείαν. Om. A. B.
117. γίνεσθέ φησιν. Luc. 6, 36.

Περὶ τοῦ ὀγδόου καὶ ἐννάτου μακαρισμοῦ, ὅτι τὸ ὑπομένειν διωκομένους καὶ ὑβριζομένους ἕνεκεν δικαιοσύνης καὶ τοῦ Χριστοῦ διὰ τῆς μελέτης ταύτης κατορθοῦται.

Ἔρωτα δὲ Χριστοῦ καὶ τῆς ἀρετῆς οὕτω λαβόντας καὶ 126
διωγμῶν ὑπὲρ αὐτῶν εἰκὸς ἀνασχέσθαι καὶ φυγεῖν ἐλέσθαι
δεῆσαν καὶ τὰ δεινότατα πάντων ἀκοῦσαι, καὶ τοῦτο χαί-
ροντας, ὡς δὴ μεγίστων καὶ καλλίστων αὐτοῖς γερῶν
ἀποκειμένων ἐν οὐρανοῖς. Ὁ γὰρ περὶ τὸν ἀθλοθέτην τῶν
ἀγωνιζομένων ἔρως καὶ τοῦτο δύναται, καὶ περὶ τῶν μήπω
φαινομένων ἄθλων ποιεῖ πιστεύειν αὐτῷ καὶ βεβαίας εἰς
τὸ μέλλον ἐπὶ τοῦ παρόντος ἔχειν ἐλπίδας. Οὕτω τὰ Χριστοῦ 127
τοὺς ἑκάστοτε λογιζομένους καὶ μελετῶντας καὶ μετρίους εἶ-
ναι ποιεῖ καὶ τῆς ἀνθρωπείας ἐπιγνώμονας ἀσθενείας, ὥστε
πενθεῖν, καὶ πράους ἀποδείκνυσι καὶ δικαίους καὶ φιλαν-
θρώπους καὶ σώφρονας καὶ εἰρήνης καὶ διαλλαγῶν ἀν-
θρώποις ἐργάτας, καὶ οὕτω Χριστοῦ καὶ τῆς ἀρετῆς περιε-
χομένους, ὥστε ὑπὲρ αὐτῶν οὐκ ἀνέχεσθαι μόνον, ἀλλὰ
καὶ χαίρειν ὑβριζομένους καὶ ἥδεσθαι διωκομένους. Καὶ 128
ὅλως τὰ μέγιστα τῶν ἀγαθῶν καὶ ὅθεν ἐστὶ μακαρίους
γενέσθαι, τῶν ἐννοιῶν ἀπολαύειν ἔξεστι τούτων, καὶ οὕτω
τηρῆσαι μὲν ἐν τῷ ἀγαθῷ τὴν γνώμην, τὴν δὲ γιγνομέ-
νην ὥραν καλὴν ἐργάσασθαι τὴν ψυχήν, καὶ τὸν ἀπὸ
τῶν μυστηρίων φυλάξαι πλοῦτον καὶ τὸν βασιλικὸν μὴ
ῥῆξαι μηδὲ ὑπᾶναι χιτῶνα. Διὰ τοῦτο καθάπερ τὸ 129
νοῦν ἔχειν καὶ λόγῳ χρῆσθαι, τῆς τῶν ἀνθρώπων
φύσεως ἴδιον, οὕτω τὰ Χριστοῦ θεωρεῖν ἔργον
εἶναι χρὴ νομίζειν τοῦ λογισμοῦ, μάλιστα μὲν ὅτι
τὸ παράδειγμα, πρὸς ὃ δεῖ βλέπειν ἀνθρώπους, ἄν τέ τι
δέῃ πράττειν ἐφ' ἑαυτῶν αὐτοὺς, ἄν τε τοῖς ἄλλοις τῶν

---

126. διωγμῶν ὑπὲρ αὐτῶν. C. περί.
127. σώφρονας καὶ εἰρήνης. B. om. κ. εἰρ.

μένων καὶ ὄντων οὐδὲν ἐώρα τῆς ζητουμένης εἰρήνης καὶ τῶν διαλλαγῶν, ὅπερ ἂν ἀντίῤῥοπον ἦν, ἄλλην καινὴν ἔκτισε κτίσιν, αἷμα ἑαυτῷ, καὶ τοῦτο δοὺς διαλλακτὴς ἦν εὐθὺς καὶ ἄρχων εἰρήνης. Οἱ τοίνυν τὸ αἷμα ἐκεῖνο προσκυνοῦντες, τί ποτ' ἂν κατορθοῦν ἄλλο ζητοῦντες τὰ ἑαυτῶν ἡγήσονται πράττειν ἢ διαλλαγῶν καὶ εἰρήνης ἀνθρώ-
124 ποις ὄντες τεχνίται; Εἰ δὲ τὴν καθόλου δικαιοσύνην, λέγω τὴν ἀρετὴν, ἡλίκον ἐστὶν ἀγαθὸν καὶ οἷον αὐτῇ σύνεστι κάλλος, ἐπὶ τοῦ ἤθους μόνου πάρεστιν ἰδεῖν τοῦ σωτῆρος, ἅτε μόνου τῶν ἐναντίων αὐτὸ καθαρὸν παντελῶς ἐπιδειξαμένου, — καὶ γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ ὁ τοῦ κόσμου ἄρχων ἐλθὼν εὗρεν, οὗ διῶξαι δυνήσεται τὴν θείαν ἐκείνην ψυχὴν, οὐδ' ἐν ᾧ μέμψαιτο τὴν ὥραν, βασκάνοις περισκοπῶν ὀφθαλμοῖς· — τὸν μὲν εἰς τὸν Χριστὸν καὶ τὴν ἀρετὴν ἔρωτα δῆλον ὡς οὐδὲν ἄλλο ποιοῦντας ἢ μηχα-
125 νωμένους, ἢ τὰ τοῦ Χριστοῦ μελετῶντας ἔστι λαβεῖν. Οὕτω γὰρ περιέσται καὶ τὸ τῆς ἀρετῆς καὶ τὸ τοῦ σωτῆρος κάλλος καταμαθεῖν, καταμαθοῦσι δὲ καὶ φιλεῖν, ὡς αἴτιον ὂν πανταχοῦ τοῦ φιλεῖν τὸ καταμαθεῖν, ἐπεὶ καὶ τὴν Εὔαν ὁ τοῦ ξύλου καρπὸς καὶ ταῦτα ἀπειρημένου τοῦτον εἵλε τὸν τρόπον· „κατενόησε γάρ φησιν, ὡς ὡραῖος ἦν εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν.“

---

124. **Sequentia § 124 et 125 in cod. C. singulare capitulum faciunt cum hac inscriptione:** *Περὶ τοῦ ὀγδόου μακαρισμοῦ, ὅτι τὸ ὑπομένειν διωκομένους καὶ ὑβριζομένους ἕνεκα δικαιοσύνης καὶ τοῦ Χριστοῦ διὰ τῆς μελέτης ταύτης κατορθοῦται.*

125. *τὸ τοῦ σωτῆρος.* **C.** *om. τό.* **Paullo ante B.** *τὰ Χριστοῦ.* **1 Petr. 2, 22—24. Gen. 3, 6.** *Περὶ τοῦ ὀγδόου — μελέτης.* **In his verbis plane congruunt A. et B.; unus C., qui in § 124 octavam benedictionem collocaverat, hic nonam tantum statuit hoc titulo praescripto:** *Περὶ τοῦ ἐννάτου μακαρισμοῦ, ὅτι τὸ χαίρειν ὑπὲρ ἀρετῆς καὶ τοῦ Χριστοῦ διωκομένους καὶ ὑβριζομένους ἀπὸ τῆς εἰρημένης περιγίνεται μελέτης.*

Περὶ τοῦ ὀγδόου καὶ ἐννάτου μακαρισμοῦ, ὅτι τὸ ὑπομένειν διωκομένους καὶ ὑβριζομένους ἕνεκεν δικαιοσύνης καὶ τοῦ Χριστοῦ διὰ τῆς μελέτης ταύτης κατορθοῦται.

Ἔρωτα δὲ Χριστοῦ καὶ τῆς ἀρετῆς οὕτω λαβόντας καὶ 126
διωγμῶν ὑπὲρ αὐτῶν εἰκὸς ἀνασχέσθαι καὶ φυγεῖν ἐλέσθαι
δεῆσαν καὶ τὰ δεινότατα πάντων ἀκοῦσαι, καὶ τοῦτο χαί-
ροντας, ὡς δὴ μεγίστων καὶ καλλίστων αὐτοῖς γερῶν
ἀποκειμένων ἐν οὐρανοῖς. Ὁ γὰρ περὶ τὸν ἀθλοθέτην τῶν
ἀγωνιζομένων ἔρως καὶ τοῦτο δύναται, καὶ περὶ τῶν μήπω
φαινομένων ἄθλων ποιεῖ πιστεύειν αὐτῷ καὶ βεβαίας εἰς
τὸ μέλλον ἐπὶ τοῦ παρόντος ἔχειν ἐλπίδας. Οὕτω τὰ Χριστοῦ 127
τοὺς ἑκάστοτε λογιζομένους καὶ μελετῶντας καὶ μετρίους εἶ-
ναι ποιεῖ καὶ τῆς ἀνθρωπείας ἐπιγνώμονας ἀσθενείας, ὥστε
πενθεῖν, καὶ πράους ἀποδείκνυσι καὶ δικαίους καὶ φιλαν-
θρώπους καὶ σώφρονας καὶ εἰρήνης καὶ διαλλαγῶν ἀν-
θρώποις ἐργάτας, καὶ οὕτω Χριστοῦ καὶ τῆς ἀρετῆς περιε-
χομένους, ὥστε ὑπὲρ αὐτῶν οὐκ ἀνέχεσθαι μόνον, ἀλλὰ
καὶ χαίρειν ὑβριζομένους καὶ ἥδεσθαι διωκομένους. Καὶ 128
ὅλως τὰ μέγιστα τῶν ἀγαθῶν καὶ ὅθεν ἐστὶ μακαρίους
γενέσθαι, τῶν ἐννοιῶν ἀπολαύειν ἔξεστι τούτων, καὶ οὕτω
τηρῆσαι μὲν ἐν τῷ ἀγαθῷ τὴν γνώμην, τὴν δὲ γιγνομέ-
νην ὥραν καλὴν ἐργάσασθαι τὴν ψυχὴν, καὶ τὸν ἀπὸ
τῶν μυστηρίων φυλάξαι πλοῦτον καὶ τὸν βασιλικὸν μὴ
ῥῆξαι μηδὲ ῥυπᾶναι χιτῶνα. Διὰ τοῦτο καθάπερ τὸ 129
νοῦν ἔχειν καὶ λόγῳ χρῆσθαι, τῆς τῶν ἀνθρώπων
φύσεως ἴδιον, οὕτω τὰ Χριστοῦ θεωρεῖν ἔργον
εἶναι χρὴ νομίζειν τοῦ λογισμοῦ, μάλιστα μὲν ὅτι
τὸ παράδειγμα, πρὸς ὃ δεῖ βλέπειν ἀνθρώπους, ἄν τέ τι
δέῃ πράττειν ἐφ' ἑαυτῶν αὐτοὺς, ἄν τε τοῖς ἄλλοις τῶν

---

126. *διωγμῶν ὑπὲρ αὐτῶν.* C. *περί.*
127. *σώφρονας καὶ εἰρήνης.* B. om. *κ. εἰρ.*

δεόντων ἡγεῖσθαι, μόνος ἐστὶν Ἰησοῦς, ὃς καὶ τῶν ἰδίων ἕνεκα καὶ τῆς πολιτείας πρῶτος καὶ μέσος καὶ τελευταῖος
130 τὴν ἀληθινὴν ὑπέδειξεν ἀνθρώποις δικαιοσύνην. Ἔπειτα καὶ γέρας ἐστὶν ὁ αὐτὸς καὶ στέφανος, ὃν δεῖ λαβεῖν ἀγωνισαμένους. Οὐκοῦν εἰς ἐκεῖνον ὁρᾶν δεῖ καὶ τἀκείνου σκοπεῖν ἀκριβῶς, καὶ ὡς ἔνεστι πειρᾶσθαι καταμανθάνειν, ἵν' εἰδῶμεν ὡς δεῖ πονεῖν. Τὰ γὰρ ἆθλα τοῖς ἀθληταῖς μετρεῖ τοὺς ἀγῶνας, καὶ ταῦτα ἀποσκοποῦντες τοὺς πόνους φέρουσι, τοσοῦτον εἰσάγοντες καρτερίας, ὅσον ἐκεῖνα
131 κάλλους ἔγνωσαν ἔχειν. Παρὰ πάντα δὲ ταῦτα τίς οὐκ οἶδεν, ἀνθ' ὧν ἡμᾶς αὐτὸς ἐκτήσατο μόνος τοῦ αἵματος πριάμενος, ὡς οὐκ ἔστιν ἄλλος, ᾧ χρὴ δουλεύειν καὶ πρὸς ὃν δεῖ χρήσασθαι ἡμῖν αὐτοῖς καὶ σώμασι καὶ ψυχαῖς καὶ ἔρωτι καὶ μνήμῃ καὶ τῇ κατὰ νοῦν ἐνεργείᾳ. Διὰ τοῦτο καὶ Παῦλος „οὐκ ἐστέ φησιν ἑαυτῶν, τιμῆς γὰρ ἠγοράσθητε."

132 Καὶ γὰρ διὰ τὸν καινὸν ἄνθρωπον ἀνθρώπου φύσις συνέστη τὸ ἐξ ἀρχῆς, καὶ νοῦς καὶ ἐπιθυμία πρὸς ἐκεῖνον κατεσκευάσθη, καὶ λογισμὸν ἐλάβομεν, ἵνα τὸν Χριστὸν γινώσκωμεν, ἐπιθυμίαν ἵνα πρὸς ἐκεῖνον τρέχωμεν, μνήμην ἔσχομεν, ἵν' ἐκεῖνον φέρωμεν, ἐπεὶ καὶ δημιουργουμένοις αὐτὸς ἀρχέτυπον ἦν. Οὐ γὰρ ὁ παλαιὸς τοῦ καινοῦ, ἀλλ'
133 ὁ νέος Ἀδὰμ τοῦ παλαιοῦ παράδειγμα. Εἰ γὰρ καὶ καθ' ὁμοιότητα τοῦ παλαιοῦ τὸν νέον λέγεται γεγενῆσθαι, ἀλλὰ διὰ τὴν φθορὰν, ἧς ἀπῆρξατο μὲν ἐκεῖνος, ἐκληρονόμησε δὲ οὗτος, ὡς ἂν τὴν τῆς φύσεως ἀῤῥωστίαν τοῖς παρ' ἑαυτῷ φαρμάκοις ἀνέλῃ, καὶ ᾗ φησι Παῦλος „καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς". ὡς ἕνεκά γε τῆς

---

130. *τοσοῦτον εἰσάγοντες.* C. *εἰσάγοντος — ἐκεῖνο.*
131. *οὐκ ἐστέ.* 1 Cor. 6, 20.
132. *μνήμην ἔσχομεν.* C. *ἔσχωμεν.* Idem *ἀρχέτυπος.* Vide de hoc loco Proleg. sect. III.
133. *καταποθῇ τὸ θνητόν.* 2 Cor. 5, 4.

φύσεως αὐτῆς ἀρχέτυπον ὁ παλαιὸς Ἀδὰμ ἡμῖν ἂν εἴη
τοῖς πρότερον ἐκεῖνον ἐπισταμένοις, ᾧ δὲ πάντα πρὶν εἶναι
πρὸ τῶν ὀφθαλμῶν, ὁ πρεσβύτερος τοῦ δευτέρου μίμημα,
καὶ κατὰ τὴν ἰδέαν ἐκείνου καὶ τὴν εἰκόνα πέ-
πλασται μὲν, οὐκ ἔμεινε δὲ, μᾶλλον δὲ ὡρμήθη μὲν
πρὸς ἐκείνην, οὐ κατείληφε δέ. Ὅθεν καὶ τὸν νόμιον 134
ἐδέξατο μὲν ἐκεῖνος, ἔσωσε δὲ οὗτος, καὶ τὴν ὑπακοὴν
ἀπητήθη μὲν ὁ παλαιὸς, ἀπέδωκε δὲ ὁ νέος μέχρι θανάτου,
θανάτου δὲ σταυροῦ φησι Παῦλος· καὶ ὁ μὲν παρανομῶν
δῆλος ἦν, ὧν δέον ἄνθρωπον ἔχειν, ἀτελῶς ἔχων, — οὐ
γὰρ παρῆει τὴν φύσιν ὁ νόμος, ὃν ὑπερβάντα κολάζειν
δίκαιον ἦν, — ὁ δὲ τέλειος ἐν ἅπασιν ἦν, καὶ „τετήρηκά
φησι τὰς ἐντολὰς τοῦ πατρός μου.“ Καὶ ὁ μὲν τὴν ἀτελῆ 135
ζωὴν εἰσήνεγκεν, ἢ μυρίων δεῖται βοηθημάτων, ὁ δὲ τῆς
τελεωτάτης, λέγω δὴ τῆς ἀθανάτου, πατὴρ ἐγένετο τοῖς ἀν-
θρώποις, καὶ εἰς τὴν ἀθανασίαν ἡ φύσις ἠπείγετο μὲν ἐξ
ἀρχῆς, ἀφίκετο δὲ ὕστερον ἐπὶ τοῦ σωτῆρος σώματος, ὅπερ
αὐτὸς εἰς τὴν ἀθάνατον ζωὴν ἀπὸ τῶν νεκρῶν ἀναστήσας
ἠγειμὼν ὑπῆρξε τῆς ἀθανασίας τῷ γένει· καὶ ἵνα τὸ πᾶν
εἴπω, τὸν ἀληθινὸν ἄνθρωπον καὶ τέλειον καὶ
τρόπων καὶ ζωῆς καὶ τῶν ἄλλων ἕνεκα πάντων
πρῶτος καὶ μόνος ἔδειξεν ὁ σωτήρ.

Εἴ γε τοῦτό ἐστιν ὡς ἀληθῶς ὅρος ἀνθρώπου, πρὸς 136
ὃ βλέπων ἔσχατον ἔπλαττεν αὐτὸν ὁ θεὸς, λέγω δὴ τὸν
βίον τὸν ἀκήρατον, ἐπειδὰν φθορᾶς μὲν ᾖ καθαρὸν αὐτῷ
τὸ σῶμα, γνώμη δὲ πάσης ἁμαρτίας ἀπηλλαγμένη· — ἐν-
ταῦθα γὰρ τέλειον ἂν εἴη τὸ κατ' αὐτὸν, ὅταν ὁ δημιουρ-
γὸς αὐτὸν ἃ δεῖν ᾠήθη, πάντα ἐργάσηται, ἐπεὶ καὶ ἀγάλ-
ματος ἀποκαθίσταται κάλλος τῇ τελευταίᾳ τοῦ τεχνίτου
χειρί· — εἰ τοίνυν ὁ μὲν πολλοῦ τινος ἐδέησεν εἶναι τέ- 137

---

134. τὸν νόμον ἐδέξατο. B. κόσμον — τετήρηκά φησι. Joh. 15, 10.
135. λέγω δὴ τῆς ἀθ. C. om. δή. — εἰς τὴν ἀθανασίαν. C. πρός.
136. πρὸς ὃ βλέπων. C. προσβλέπων. — ἐπεὶ καὶ ἀγάλματος ἀποκ. C. ἀλλάγματος.

λειος, ὁ δ' ἦν ἐν ἅπασι καὶ τῆς τελειότητος τοῖς ἀνθρώποις μετέδωκε, καὶ τὸ γένος ἅπαν εἰς ἑαυτὸν ἥρμοσε, πῶς οὐ τὰ δεύτερα τῶν προτέρων παραδείγματα, καὶ τὸν μὲν ἀρχέτυπον εἶναι χρὴ νομίζειν, τὸν δὲ ἐκεῖ-
138 θεν εἰλῆφθαι; Τῶν γὰρ ἀτοπωτάτων, πρὸς τὰ ἀτελῆ τὰ τελεώτατα πάντων ἐπείγεσθαι νομίζειν, καὶ τοῖς βελτίοσι παραδείγματα προκεῖσθαι τὰ χείρω, καὶ τοὺς τυφλοὺς ἡγεῖσθαι τοῖς βλέπουσιν. Οὐ γὰρ ὅτι τὸν χρόνον πρότερα ἐκεῖνα, δίκαιον ἂν εἴη θαυμάζειν, ἀλλ' ὅτι τέλεια ταῦτα τῶν ἀτελῶν ἀρχὰς εἶναι προσῆκε πιστεύειν ἐκεῖνο ἐνθυμουμένους, ὅτι καὶ πρὸς τὴν ἀνθρώπου χρείαν πολλὰ κατεσκεύασται μὲν πρότερα δὲ, καὶ ὁ πάντων τούτων κανὼν
139 ἄνθρωπος ὕστατος ἁπάντων τῆς γῆς ἐξελήλυθεν. Εἶεν. Ὑπὲρ τούτων τοίνυν ἁπάντων καὶ φύσει καὶ γνώμῃ καὶ λογισμοῖς ἄνθρωπος πρὸς τὸν Χριστὸν ἵεται, οὐ διὰ τὴν θεότητα μόνον, ἣ πάντων οὖσα τυγχάνει τέλος, ἀλλὰ καὶ τῆς φύσεως ἕνεκα τῆς ἑτέρας, καὶ οὗτος μὲν τὸ κατάλυμα τῶν ἀνθρωπίνων ἐρώτων, οὗτος δὲ τρυφὴ λογισμιῶν, καὶ τὸ παρὰ τοῦτον ὁτιοῦν ἢ φιλεῖν ἢ λογίζεσθαι περιφανὴς τοῦ δέοντος ἁμαρτία καὶ τῶν ἐξ ἀρχῆς ὑποτεθέντων τῇ φύσει παρατροπή· ὡς ἂν δὲ πρὸς αὐτὸν ἔχειν ἀεὶ δυνώμεθα τὴν μελέτην καὶ ταύτης ὤμεν ἑκάστοτε τῆς σπουδῆς, αὐτὸν καλῶμεν ὅσαι ὧραι τῶν λογισμιῶν τὴν
140 ὑπόθεσιν. Πάντως δὲ οὐ παρασκευῆς πρὸς τὰς εὐχὰς δεῖ καὶ τόπων οὐδὲ βοῆς ἐκεῖνον καλοῦσιν· οὐ γὰρ ἔστιν οὗ μὴ πάρεστιν, οὐδ' ἔστιν ὅπως μὴ σύνεστιν ἡμῖν, ὅς γε τοῖς
141 ζητοῦσι καὶ αὐτῆς ἐγγιόν ἐστι τῆς καρδίας. Ἀκόλουθον δὲ καὶ τὰ παρὰ τῶν εὐχῶν ἡμῖν ὡς ἀπαντήσει μάλα πιστεύειν, καὶ μὴ ἐνδοιάζειν, ὅτι πονηροὶ τὸν τρόπον ἡμεῖς, ἀλλὰ θαῤῥεῖν, ὅτι χρηστὸς ὁ καλούμενος ἐπὶ τοὺς ἀχα-

---

139. *οὖσα τυγχάνει τέλος* C. *ἐστὶ τέλος.* — *πρὸς αὐτὸν ἔχειν ἀεί.* Sic unus C, in A. et B. legitur *αὐτόν.*

140. *δεῖ καὶ τόπων.* A. B. *δεῖ τόπων.*

141. *ὅτι χρηστὸς ὁ καλούμενος.* A. C. h. *Χριστός.* Sed in A

ρίστους καὶ πονηροὺς, ὅς γε τοσοῦτον ἀπέχει, τοὺς προσκεκρουκότας τῶν δούλων δεομένους περιορᾶν, ὥστε μήπω καλέσαντας μηδὲ λόγον ὁντινοῦν ἐκείνου ποιησαμένους αὐτὸς τὴν γῆν καταλαβὼν ἐκάλεσε πρῶτος. „Ἦλθον γάρ 142
φησι καλέσαι ἁμαρτωλούς“· ὁ δὲ μηδὲ βουλομένους οὕτω ζητήσας, τίς ἂν εἴη καλούμενος; καὶ εἰ μισούμενος ἐφίλησε, πῶς ἀπώσεται φιλούμενος; ὃ καὶ δηλῶν ὁ Παῦλος, „εἰ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ φησι, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.“ Καὶ μὴν καὶ τὸ σχῆμα τῆς ἱκεσίας ἐν- 143
θυμηθῶμεν· οὐ γὰρ ἃ φίλους εἰκὸς αἰτεῖσθαι καὶ λαμβάνειν, τούτων ἀξιοῦμεν τυγχάνειν, ἀλλ' ὧν καὶ τοῖς ὑπευθύνοις καὶ προσκεκρουκόσιν ἐφεῖται δούλοις καὶ μάλιστα τούτοις. Οὐ γὰρ ἵνα στεφανώσῃ, τὸν δεσπότην καλοῦμεν, οὐδ' ἵνα ἄλλην τοιαύτην τινὰ κατάθηται χάριν, ἀλλ' ἵν' ἐλεήσῃ· ἔλεον δὲ καὶ συγγνώμην καὶ χρέους διάλυσιν καὶ τὰ τοιαῦτα τοῦ φιλανθρώπου δεηθῆναι καὶ δεηθέντας μὴ κεναῖς χερσὶν ἀπελθεῖν, εἰ μὴ τοὺς ὑπευθύνους, τίνας εἰκὸς, εἴ γε μὴ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ; Εἰ γὰρ ὅλως 144
ἀνθρώπους νενόμισται πρὸς τὸν θεὸν ἔλεον ἐκκαλουμένην ἀφεῖναι φωνὴν, τῶν ἀξίως ἐλέου πραττόντων, τῶν ἡμαρτηκότων ἐστὶν ἡ φωνή. Καλῶμεν δὲ τὸν θεὸν καὶ γλώττῃ καὶ γνώμῃ καὶ λογισμοῖς, ἵνα πᾶσι, δι' ὧν ἁμαρτάνομεν, τὸ φάρμακον τὸ μόνον σωτήριον ἐπιθῶμεν· „οὐ γάρ ἐστί φησιν ἕτερον ὄνομα, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς!“

Ἀρκέσει δὲ πρὸς ταῦτα πάντα καὶ τόνου παρέξει πρὸς 145
τὴν σπουδὴν καὶ τὴν ἐπιφυομένην ἐξελεῖ τῆς ψυχῆς ῥᾳθυμίαν, ὁ τὴν ἀνθρώπου καρδίαν στηρίζων ἀληθῶς ὄρτος,

---

margini adscriptum est altera manu, *γράφε ὅτι χρηστός*. In B. *Χριστός* per compendium scriptum fuisse et in *χρηστός* correctum videtur.

142. **Matth. 9, 12. 13. Rom. 5, 10.**

143. *σχῆμα τῆς ἱκεσίας*. C. *ἱκετείας*. Idem deinde pro *ἄλλην τοιαύτην* h. *ἀ. τοσαύτην*. Tum post *κεναῖς* B. om. *χερσίν*.

144. *οὐ γάρ ἐστί φησιν*. **Act. 4, 12.**

ὃς τὴν ζωὴν ἡμῖν οὐρανόθεν ἦκε κομίζων, ὃν σιτεῖσθαι δεῖ ζητεῖν ἐκ παντὸς τρόπου, καὶ τὸ δεῖπνον τοῦτο συνεχὲς ποιουμένους ἔργον φυλάττεσθαι τὸν λιμὸν, καὶ μὴ τῷ μὴ αφόδρα προσήκειν τοῖς μυστηρίοις πλέον ἢ προσῆκε τῆς τραπέζης ἀπεχομένους ἀσθενεστέραν καὶ χείρω τοῖς ὅλοις ἐργάσασθαι τὴν ψυχὴν, ἀλλὰ περὶ τῶν ἁμαρτημάτων προσ-
146 ιόντας τοῖς ἱερεῦσι τῶν καθαρσίων πίνειν αἱμάτων. Πάντως δὲ οὐχ οὕτω μεγάλων ὑπεύθυνοι γενοίμεθ' ἄν, ὥστε τῆς ἱερᾶς ἀποκεκλεῖσθαι τραπέζης, ἂν τούτοις ὦμεν συντραφέντες τοῖς λογισμοῖς. Καθάπερ γὰρ τῶν ἀθεμίτων, εἴ τις τὰ πρὸς θάνατον ἁμαρτάνων ἔπειτα κατατολμήη τῶν ἱερῶν, οὕτω τοῖς μὴ τὰ τοιαῦτα νοσοῦσι
147 τὸν ἄρτον φεύγειν, οὐκ ἐν καιρῷ. Τοὺς μὲν γὰρ ἔτι τῇ γνώμῃ τοῖς ἄνθραξι πολεμοῦντας εὐλαβεῖσθαι προσήκει τὸ πῦρ καὶ μὴ σύνοικον αὐτοῖς λαμβάνειν πρὶν διηλλάχθαι, τοῖς δὲ τὴν μὲν γνώμην ὀρθῶς ἔχουσιν, ἑτέρως δὲ ἀῤῥωστοῦσι, τοῦ ῥωννῦντος χρεία φαρμάκου, καὶ δεῖ βαδίζειν παρὰ τὸν τῆς ὑγιείας τεχνίτην, ὃς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε, καὶ μὴ τὸ νοσεῖν προϊσχομένους, ὑπὲρ οὗ ζητεῖν ἔδει, φεύγειν τὸν ἰασόμενον.
148 Τὸ γὰρ αἷμα τοῦτο ταῖς αἰσθήσεσιν ἡμῶν ἐπιτίθησι θύρας καὶ διαβαίνειν οὐδὲν ἐᾷ τῶν λυμαίνεσθαι δυναμένων, μᾶλλον δὲ τὰς θύρας ἀποσημαινόμενον τὸν ὁλοθρευτὴν ἀπωθεῖται, καὶ θεοῦ νεὼν ἀπεργαζόμενον, εἰς ἣν ἐχέθη καρδίαν, ἄμεινον ἢ τοὺς Σολομῶντος τοίχους, τὸ αἷμα τὸ τυπικὸν συστῆναι παρ' αὐτῇ πονηρὸν εἴδωλον οὐ συγχωρεῖ· „τὸ βδέλυγμα τῆς ἐρημώσεως φησιν ἐν τόπῳ ἁγίῳ", — ἀλλὰ τῷ ἡγεμονικῷ πνεύματι στηρίζων τὸν λογισμὸν, ὥσπερ ηὔξατο Δαβὶδ, τῆς σαρκὸς ὑπ' αὐτὸν ἄγει τὸ φρόνημα, καὶ ὁ ἄνθρωπος βαθείας ἀπολαύει γαλήνης.

---

146. ἔπειτα κατατολμήη. C. κατατολμῶν. A. κατατολμῶν, ubi ὼν correctum ex ώη.

148. τοὺς Σολομῶντος. 2 Paral. 7, 5. sqq. Matth. 24, 15. Ps. 50, 14. — πν. στηρίζων. Fort. legendum στηρίζον.

μαι καὶ ὑγείαν, ὅ τι ἐστὶ καὶ ὅσον αὐτῆς ὄφελος, εἴ τις δεικνύναι ἐθέλοι, τὸν μάλιστα αὐτῆς ἀπολαύοντα ἀγαγὼν εἰς μέσον μάλιστ' ἂν ποιῆσαι καταφανές. Καὶ δὴ τὸν 3
οὕτω ζήσαντα πρὸ τῶν ὀφθαλμῶν στήσαντες μανθάνωμεν αὐτοῦ τὴν εὐεξίαν καὶ τὴν ὥραν πανταχόθεν περισκοποῦντες· σκεψόμεθα δὲ τῶν μὲν ἄλλως αὐτὸν κοσμούντων οὐδὲν, οὐδ' εἰ θαύμασι λάμπει καὶ τοιαύτην εἴληφε χάριν, ἀλλ' αὐτὸν τοῦτον καθαρῶς καὶ τὸν οἶκοι κόσμιον τὴν τῆς ψυχῆς ἀρετήν. Ἐκείνοις μὲν γὰρ εἰκάσαι τις ἂν τὸν σπου- 4
δαῖον, καὶ τοῦτ' αὐτὸ μόνον ἀρετῆς ἂν εἴη τεκμήριον· τὸ δ' αὐτῶν πειρᾶσθαι τῶν τρόπων, αὐτόν ἐστι γινώσκειν τὸν ἄνθρωπον. Τί οὖν δεῖ, παρὸν αὐτόθεν μανθάνειν, τεκμαίρεσθαι καὶ σημεῖα ζητεῖν, ὅταν αὐτῶν ἐξῇ τῶν πραγμάτων ἅπτεσθαι· καίτοι οὐδὲ σημεῖον τοῦτο γένοιτ' ἂν ἀποχρῶν ἀρετῆς. Οὔτε γὰρ πᾶσι ταῦτα τοῖς σπουδαίοις 5
ἀκολουθεῖ, οὔθ' οἷς ὑπῆρξεν, ἐργάται πάντες εἰσὶν ἀρετῆς. Καὶ γὰρ πολλοὶ τῶν μεγάλα παρὰ θεῷ δυνηθέντων οὐδὲν ἐπεδείξαντο τοιοῦτον, καὶ αὖθις τῶν πονηρῶν ἑνίους ἐδέησε τοιαῦτά ποτε δυνηθῆναι, καὶ τὸν Χριστὸν καλοῦσιν οὐδὲν ἀμήχανον ἦν, οὐ τῶν τρόπων τοῦτο διδόντων, ἀλλ' ἵν' ὁ καλούμενος φανῇ. Καὶ διὰ τοῦτο τῆς μὲν ἀρετῆς 6
ἕνεκα καὶ τελεταὶ καὶ πᾶς πόνος, πρὸς δὲ τὴν δύναμιν ἐκείνην οὐδεὶς οὐδὲν ἐμηχανήσατο τῶν ἐπισταμένων, ὡς δεῖ πονεῖν. Καὶ τί λέγω; μὴ παρόντων οὐδένα πόθον ἔλαβον οὐδ' ἐζήτησαν, ὧν παρόντων οὐδὲ χαίρειν ἔξεστι. „Μὴ χαίρετε γάρ φησιν, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσ- 7
σεται, χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.“ Ὁ τοίνυν μήτε ποιεῖ τὴν ἀρετὴν, μήτε γοῦν δύναται μηνῦσαι παροῦσαν, περίεργον εἴ τις ἐκείνην ζητῶν

---

4. τὸ δ' αὐτῶν πειρᾶσθαι. Cod. αὐτόν. — ὅταν αὐτῶν ἐξῇ. Post αὐτῶν in codice lacuna est fere octo literarum, nec tamen quidquam excidisse videtur.

7. μὴ χαίρετε. Luc. 10, 20.

Περὶ τῆς ἐν Χριστῷ ζωῆς

λόγος ἕβδομος.

Ὁποῖος γίνεται ὁ μεμυημένος τὴν ἀπὸ τῶν μυστηρίων χάριν φυλάξας τῇ παρ' ἑαυτοῦ σπουδῇ.

1 Ἐπεὶ δὲ εἴρηται, τίς γενόμενος ὁ μυηθεὶς καὶ τίνα τὴν ὁδὸν ἐλθὼν, ἃ παρὰ τῶν μυστηρίων ἔλαβε, σώσοι, σκοπεῖν ἀκόλουθον, τίς γένοιτο σεσωκὼς, καὶ ποταπὸς ἂν ἀποβαίη τοὺς τρόπους τοῖς τοῦ θεοῦ τὰ παρ' ἑαυτοῦ προσθείς. Ἐκεῖνα μὲν γὰρ συνάγει τὴν σωὴν, ἃ τῶν προτέρων λόγων ἡμῖν χωρὶς ἑκάτερον ὑπόθεσις ἦν, τοῦτο μὲν ἡ παρὰ τῶν τελετῶν χάρις, τοῦτο δὲ ἡ πρὸς τὸ συντηρῆσαι τὸ δῶρον παρὰ
2 τῶν δεξαμένων σπουδή. Νῦν δὲ συστᾶσαν αὐτὴν ὑπόλοιπόν ἐστιν ὁλόκληρον θεωρῆσαι, καὶ τί τὸ συναμφότερον δεῖξαι, καὶ οἵ ἔστι τὴν ἀνθρωπίνην ἀρετὴν ἅπασαν τῇ χάριτι συνελθεῖν· τοῦτο δὲ γένοιτ' ἂν, ἐὰν αὐτὸν τὸν ἐξ ἀμφοτέρων συγκεκροτημένον σκεψώμεθα, καθάπερ οἱ-

---

Liber septimus. Totus hic liber, qui et in pluribus libris mss. et in interpretatione latina desideratur, quemque posterius scriptum operique ab auctore additum esse putamus, ex solo cod. B. Vindobonensi a nobis editus est. Ad hunc igitur unum omnia deinceps adnotata pertinent. Titulum hujus libri prorsus eundem Casaub. affert ex cod. Regio.

2. καὶ οἵ ἔστι. Fortasse leg. ᾧ.

μαι καὶ ὑγείαν, ὅ τι ἐστὶ καὶ ὅσον αὐτῆς ὄφελος, εἴ τις δεικνύναι ἐθέλοι, τὸν μάλιστα αὐτῆς ἀπολαύοντα ἀγαγὼν εἰς μέσον μάλιστ' ἂν ποιῆσαι καταφανές. Καὶ δὴ τὸν 3
οὕτω ζήσαντα πρὸ τῶν ὀφθαλμῶν στήσαντες μανθάνωμεν αὐτοῦ τὴν εὐεξίαν καὶ τὴν ὥραν πανταχόθεν περισκοποῦντες· σκεψόμεθα δὲ τῶν μὲν ἄλλως αὐτὸν κοσμιούντων οὐδὲν, οὐδ' εἰ θαύμασι λάμπει καὶ τοιαύτην εἴληφε χάριν, ἀλλ' αὐτὸν τοῦτον καθαρῶς καὶ τὸν οἶκοι κόσμιον τὴν τῆς ψυχῆς ἀρετήν. Ἐκείνοις μὲν γὰρ εἰκάσαι τις ἂν τὸν σπου- 4
δαῖον, καὶ τοῦτ' αὐτὸ μόνον ἀρετῆς ἂν εἴη τεκμήριον· τὸ δ' αὐτῶν πειρᾶσθαι τῶν τρόπων, αὐτόν ἐστι γινώσκειν τὸν ἄνθρωπον. Τί οὖν δεῖ, παρὸν αὐτόθεν μανθάνειν, τεκμαίρεσθαι καὶ σημεῖα ζητεῖν, ὅταν αὐτῶν ἐξῇ τῶν πραγμάτων ἅπτεσθαι· καίτοι οὐδὲ σημεῖον τοῦτο γένοιτ' ἂν ἀποχρῶν ἀρετῆς. Οὔτε γὰρ πᾶσι ταῦτα τοῖς σπουδαίοις 5
ἀκολουθεῖ, οὔθ' οἷς ὑπῆρξεν, ἐργάται πάντες εἰσὶν ἀρετῆς. Καὶ γὰρ πολλοὶ τῶν μεγάλα παρὰ θεῷ δυνηθέντων οὐδὲν ἐπεδείξαντο τοιοῦτον, καὶ αὖθις τῶν πονηρῶν ἐνίους ἐδέησε τοιαῦτά ποτε δυνηθῆναι, καὶ τὸν Χριστὸν καλοῦσιν οὐδὲν ἀμήχανον ἦν, οὐ τῶν τρόπων τοῦτο διδόντων, ἀλλ' ἵν' ὁ καλούμενος φανῇ. Καὶ διὰ τοῦτο τῆς μὲν ἀρετῆς 6
ἕνεκα καὶ τελεταὶ καὶ πᾶς πόνος, πρὸς δὲ τὴν δύναμιν ἐκείνην οὐδεὶς οὐδὲν ἐμηχανήσατο τῶν ἐπισταμένων, ὡς δεῖ πονεῖν. Καὶ τί λέγω; μὴ παρόντων οὐδένα πόθον ἔλαβον οὐδ' ἐζήτησαν, ὧν παρόντων οὐδὲ χαίρειν ἔξεστι. „Μὴ χαίρετε γάρ φησιν, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσ- 7
σεται, χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.“ Ὁ τοίνυν μήτε ποιεῖ τὴν ἀρετὴν, μήτε γοῦν δύναται μηνῦσαι παροῦσαν, περίεργον εἴ τις ἐκείνην ζητῶν

---

4. *τὸ δ' αὐτῶν πειρᾶσθαι.* Cod. *αὐτόν.* — *ὅταν αὐτῶν ἐξῇ.* Post *αὐτῶν* in codice lacuna est fere octo literarum, nec tamen quidquam excidisse videtur.

7. *μὴ χαίρετε.* Luc. 10, 20.

μην ἀναπτύξομιεν τοῦ κατὰ θεὸν ζῶντος, ἐν αὐτῇ λάμπουσαν εὑρήσομιεν τὴν μακαρίαν ζωὴν, ὡσὰν δὲ πᾶσαν αὐτῆς εἰδῶμιεν τὴν δύναμιν, ἐπ' αὐτῆς αὐτὴν σκεψόμεθα τῆς ὑπερβολῆς, καθάπερ καὶ σώματος ἰσχὺν ἐπὶ τῆς ἀκμῆς.

18 Ὑπερβολὴ δὲ θελήσεως ἡδονὴ καὶ λύπη, τὸ μὲν προσιεμένης ὁτιοῦν, ἐκεῖνο δὲ ἐκτρεπομένης· ὅθεν ἐν τούτοις ἄνθρωπος ὅ τι ἐστὶ, φαίνεται, καὶ ταῦτα τὸν ἑκάστου δείκνυσι τρόπον καὶ τοὺς πονηροὺς διίστησι τῶν χρηστῶν.

19 Καὶ οὕτω διττὸς ὁ τῶν ἀνθρώπων γίνεται βίος, τῶν μὲν πονηρῶν αἰσχροῖς καὶ μιαιοῖς, τῶν δὲ ἀγαθῶν χαιρόντων τοῖς ἀγαθοῖς, καὶ τῶν μὲν τοῖς δοκοῦσιν ἀηδέσι, τῶν δὲ τοῖς ὡς ἀληθῶς κακοῖς ἀχθομένων· καὶ οὐ πονηρία καὶ χρηστότης μόνον, ἀλλὰ καὶ ῥᾳστώνη βίου καὶ δυσκολία καὶ τὸ δυστυχεῖν καὶ τὸ πράττειν εὖ ἀπὸ τούτων κρίνεται.

20 Οἷς τοίνυν περὶ ζωῆς μακαρίας ὁ λόγος, πῶς οὐκ ἀναγκαία τούτων ἡ θεωρία, παρ' οἷς καὶ τὸ τῆς ζωῆς εἶδος ἁπλῶς καὶ τὴν εὐδαιμονίαν ἔστι μαθεῖν! Ἐπεὶ δὲ ἡδονῆς ἡ λύπη προτέρα, καθόσον ἐκείνου τοῦτο καρπὸς, — „παρακληθήσονται γάρ φησιν οἱ πενθοῦντες“, — εἰκός ἐστι καὶ τὸν

21 περὶ ταύτης λόγον ἡγήσασθαι. Ἄλλως τε τὸ μὲν οἷς προσῆκόν ἐστιν ἄχθεσθαι, φεύγειν ἐστὶ τὸ κακὸν, τό γε μὴν χαίρειν δεύτερον ὁ πρὸς ἀγαθόν ἐστι δρόμος, ἐκεῖνο δὲ τούτου τῇ προόδῳ δεύτερον, „ἔκκλινον γάρ φησιν ἀπὸ

22 κακοῦ καὶ ποίησον ἀγαθόν.“ Εἴρηται μὲν οὖν κἂν τοῖς ἔμπροσθεν λόγοις περὶ τῆς κατὰ θεὸν λύπης, ὧν ὑπόθεσις, ἃ λογιζομένοις ἔνι πενθεῖν, ἀλλὰ ἐπ' ἄλλα βλέπουσι καὶ διὰ τοῦτο πρὸς ἅπαν, ὃ προσήκει τῷ πάθει, μὴ δυ-

---

18. *τούτοις ἄνθρωπος.* Cod. *ἀνθρώποις.*

20. *εὐδαιμ. ἔ σ τ ι μαθεῖν.* Cod. *ἔτι.* — *παρακληθήσονται.* Matth. 5, 4.

21. *χαίρειν δεύτερον.* Fortasse om. *δεύτερον.* — *ἔκκλινον.* 1 Petr. 3, 11.

22. *ἀλλὰ ἐπ' ἄλλα.* Cod. *ἀλλ' ἃ ἐπ' ἄλλα.* — *μὴ δυνηθεῖσι.* Fort. add. *ἐξικνεῖσθαι* vel alius infinitivus, aut intelligendum *βλέπειν.*

αὖθις ἡ ἐν πνεύματι πτωχεία καὶ τὸ πενθεῖν καὶ τὸ ἐλεεῖν καὶ τὸ πρᾶον εἶναι καὶ τῶν ἄλλων ἕκαστον, ἃ τοὺς κατορθοῦντας ὁ Χριστὸς ἐκάλεσε μακαρίους, ἀτεχνῶς ἔργα θελήσεως.
Ἔτι δὲ τὸ συνθέσθαι τοῖς ὀρθοῖς τῶν δογμάτων καὶ περὶ 13
θεοῦ τὰ ὄντα πιστεῦσαι, τῶν εὐγνωμιόνων γίνεται· καὶ καθόλου τῆς ἀγάπης ἕνεκα πάντα φησὶν ὁ θεὸς τεθῆναι τὸν νόμον, ἡ δὲ ἀγάπη τῆς γνώμης ἐστὶν ἀρετή.
Ὅτε τοίνυν μετὰ πᾶσαν παιδείαν καὶ πρόνοιαν θελήσεως ἡμᾶς ὁ θεὸς εἰσπράττει καρποὺς, δῆλός ἐστιν εἰς ἐκείνην ἅπαντα σπείρων καὶ πᾶσαν ἐν αὐτῇ καταβαλλόμενος τὴν εἰς τἀγαθὸν δύναμιν καὶ παρασκευήν.
Οὐκοῦν καὶ τὸ βάπτισμα διὰ τοῦτο δέδωκε καὶ τἆλλα 14
ἡμᾶς ἐτέλεσεν, ἵνα πρὸς ἡμῖν ἀγαθὴν ποιήσῃ τὴν γνώμην, καὶ πᾶσα τῶν μυστηρίων ἡ δύναμις καὶ ἡ καινὴ ζωὴ παρ' αὐτῇ.
Ὅλως δὲ τί ποτε ἡμῖν αἱ τελεταὶ δύνανται; Πρὸς 15
τὸν μέλλοντα βίον παρασκευάζουσι, δυνάμεις γάρ εἰσι τοῦ μέλλοντος αἰῶνος, ἧ φησι Παῦλος· τί δέ ἐστιν ᾧ μόνῳ παρασκευαζόμεθα; τὸ τηρῆσαι τὰς ἐντολὰς τοῦ στεφανοῦν καὶ κολάζειν ἐπὶ τοῦ μέλλοντος δυναμένου, τοῦτο γὰρ τὸν θεὸν αὐτὸν ἡμῖν ἐνοικίζει. „Ὁ γὰρ ἀγαπῶν μέ φησι τὰς 16
ἐντολάς μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν." Τὸ δὲ σῶσαι τοὺς νόμους, τῆς γνώμης ἅπαν ἐστί. Καὶ γὰρ ἄθλα 17
κεῖται τοῖς αἰδεσθεῖσι τὸν νομοθέτην καθάπερ τιμωρίαι τοῖς ὑπερόπταις, τὸ δὲ τοιοῦτον ἐθελούσιον! Τοῦτο γάρ ἐστι τῆς ψυχῆς τὸ τὰς εὐθύνας δεχόμενον παντα-χοῦ, καὶ τῶν παντάπασιν ἀκουσίων οὔτε στέφανον οὔτε τιμωρίαν εὕροι τις ἄν· οὐκοῦν εἰ τὴν γνώ-

12. ἃ τοὺς κατορθοῦντας. Cod. αἳ τ. κ.
13. τεθῆναι τὸν νόμον Matth. 22, 37—40. Rom. 13, 10. 1 Tim. 1, 5. ἅπαντα σπείρων κ. π. Sic scribendum putavi; cod. h. πείρων, quod sensus vix patitur.
15. δυνάμεις γάρ εἰσι Hebr. 6, 5, ubi vero in universum promissa futuri saeculi dona atque beneficia significantur.
16. Ὁ γὰρ ἀγαπῶν. Joh. 14, 23.

μην ἀναπτύξομιεν τοῦ κατὰ θεὸν ζῶντος, ἐν αὐτῇ λάμπουσαν εὑρήσομιεν τὴν μακαρίαν ζωὴν, ὡσὰν δὲ πᾶσαν αὐτῆς εἰδῶμιεν τὴν δύναμιν, ἐπ' αὐτῆς αὐτὴν σκεψόμεθα τῆς ὑπερβολῆς, καθάπερ καὶ σώματος ἰσχὺν ἐπὶ τῆς ἀκμῆς.

18 Ὑπερβολὴ δὲ θελήσεως ἡδονὴ καὶ λύπη, τὸ μὲν προσιεμένης ὁτιοῦν, ἐκεῖνο δὲ ἐκτρεπομένης· ὅθεν ἐν ταύτοις ἄνθρωπος ὅ τι ἐστὶ, φαίνεται, καὶ ταῦτα τὸν ἑκάστου δείκνυσι τρόπον καὶ τοὺς πονηροὺς διίστησι τῶν χρηστῶν.

19 Καὶ οὕτω διττὸς ὁ τῶν ἀνθρώπων γίνεται βίος, τῶν μὲν πονηρῶν αἰσχροῖς καὶ ματαίοις, τῶν δὲ ἀγαθῶν χαιρόντων τοῖς ἀγαθοῖς, καὶ τῶν μὲν τοῖς δοκοῦσιν ἀηδέσι, τῶν δὲ τοῖς ὡς ἀληθῶς κακοῖς ἀχθομένων· καὶ οὐ πονηρία καὶ χρηστότης μόνον, ἀλλὰ καὶ ῥᾳστώνη βίου καὶ δυσκολία καὶ τὸ δυστυχεῖν καὶ τὸ πράττειν εὖ ἀπὸ τούτων κρίνεται.

20 Οἷς τοίνυν περὶ ζωῆς μακαρίας ὁ λόγος, πῶς οὐκ ἀναγκαία τούτων ἡ θεωρία, παρ' οἷς καὶ τὸ τῆς ζωῆς εἶδος ἁπλῶς καὶ τὴν εὐδαιμονίαν ἔστι μαθεῖν! Ἐπεὶ δὲ ἡδονῆς ἡ λύπη προτέρα, καθόσον ἐκείνου τοῦτο καρπὸς, — „παρακληθήσονται γάρ φησιν οἱ πενθοῦντες“, — εἰκὸς ἐστι καὶ τὸν

21 περὶ ταύτης λόγον ἡγήσασθαι. Ἄλλως τε τὸ μὲν οἷς προσῆκόν ἐστιν ἄχθεσθαι, φεύγειν ἐστὶ τὸ κακὸν, τό γε μὴν χαίρειν δεύτερον ὁ πρὸς ἀγαθόν ἐστι δρόμιος, ἐκεῖνο δὲ τούτου τῇ προόδῳ δεύτερον, „ἔκκλινον γάρ φησιν ἀπὸ

22 κακοῦ καὶ ποίησον ἀγαθόν.“ Εἴρηται μὲν οὖν κἂν τοῖς ἔμπροσθεν λόγοις περὶ τῆς κατὰ θεὸν λύπης, ὧν ὑπόθεσις, ἃ λογιζομένοις ἔνι πενθεῖν, ἀλλὰ ἐπ' ἄλλα βλέπουσι καὶ διὰ τοῦτο πρὸς ἅπαν, ὃ προσήκει τῷ πάθει, μὴ δυ-

---

18. *τούτοις ἄνθρωπος.* Cod. *ἀνθρώποις.*

20. *εὐδαιμ. ἔ σ τ ι μαθεῖν.* Cod. *ἔτι.* — *παρακληθήσονται.* Matth. 5, 4.

21. *χαίρειν δεύτερον.* Fortasse om. *δεύτερον.* — *ἔκκλινον.* 1 Petr. 3, 11.

22. *ἀλλὰ ἐπ' ἄλλα.* Cod. *ἀλλ' ἃ ἐπ' ἄλλα.* — *μὴ δυνηθεῖσι.* Fort. add. *ἐξικνεῖσθαι* vel alius infinitivus, aut intelligendum *βλέπειν.*

νηθεῖσι. Νῦν δὲ θεωρῆσαι δεῖ, θεὸς δὲ ἄγοι τὸν λόγον, τί τέ ἐστιν ὃ λυπήσει τὸν σπουδαῖον καὶ τίνα τρόπον, καὶ τἄλλα δήπουθεν, ἐν οἷς τῆς ἐπαινουμένης λύπης πρὸς τὴν πονηρὰν ἡ διαφορά.

Ὅτι μὲν οὖν οἷς δεῖ καὶ πῶς δεῖ ἀκόλουθον τὸν ἐν 23
θεῷ ζῶντα λυπεῖσθαι, πᾶσίν ἐστι φανερόν· τίνα δὲ τὰ δέοντα, καὶ τίς ὁ τρόπος ὁ προσήκων καὶ τῶν τοιούτων οὐ πᾶσι δήλων καθεσταμένων, ἡ σκέψις οὐ μάτην γένοιτ' ἂν ἡμῖν ὅση δυνατή. Ἡ μὲν οὖν λύπη τοῦ μίσους ἐξήρτηται, τὸ δὲ μῖσος τοῦ λόγου τῆς πονηρίας. Καὶ γὰρ 24
ἀποστρεφόμεθα μὲν ὃ δοκοῦμεν εἶναι πονηρὸν, οἷς δέ τις ἐχθρῶς ἔχει καὶ πρὸς ἃ δυσχεραίνει, τούτοις ἀνιᾶται παρουσιν· ὅθεν ὁ ζῶν ὀρθῶς καὶ τῆς ἀληθινῆς φιλοσοφίας ἐπειλημμένος οἶδε μὲν πρῶτον, ὅπερ ἐστὶ κακὸν ἀληθῶς, οἶδε δὲ ὃ χρὴ μισεῖν, ἀνιᾶται δὲ οἷς ἄχθεσθαι δεῖ. Διὰ 25
τοῦτο ζητῶμεν, τί τὸ ὡς ἀληθῶς ἀνθρώπῳ κακόν. Πολλῶν τοίνυν καὶ παντοδαπῶν ὄντων, ἃ τοὔνομα δέχεται τοῦτο, καὶ τῶν μὲν ἀνθρώποις ἐν κοινῷ πᾶσι, τῶν δ' ἐνίοις ὄντων δυσχερῶν, οὐδὲν οἷον ἡ τῆς ψυχῆς πονηρία καὶ τὸ τὴν γνώμην νοσεῖν. Καὶ γὰρ καὶ ἄστρων φθοραὶ καὶ 26
ὡρῶν ἀταξίαι καὶ χωρῶν ἀφορίαι καὶ γῆς διαστάσεις καὶ σεισμοὶ καὶ λοιμοὶ, καὶ αὖθις πενία καὶ νόσος, καὶ ὕβρις καὶ δεσμωτήριον καὶ πληγαὶ, καὶ τῶν τοιούτων ἕκαστον αὐτὸ μὲν ἂν εἴη κακὸν, ἀνθρώπῳ δὲ κακὸν οὐδαμῶς. Ταῦτα μὲν γὰρ τοῖς ἔξω λυμαίνεται, καὶ σώματος καὶ 27
κτημάτων οὐδὲν περαιτέρω χωρεῖ· ὁ δὲ ἄνθρωπος οὔτε τὸ σῶμά ἐστιν, ἵνα νοσοῦντος αὐτὸς νοσῇ, οὔτε πολλῷ μᾶλλον τῶν ἃ δεῖ τῷ σώματι χορηγούντων, ὧν ἀφῃρημένων εἰς αὐτὴν βεβλάφθαι τὴν ἀνθρωπότητα δεήσει. Καὶ μὴν οὐδ' αἱ τῶν πολλῶν ψῆφοι τὸν ἄνθρωπον πλάττουσιν, ὅπως ἢ χείρων, εἴ τις περὶ αὐτοῦ τὰ χείρω γινώσκει. Καὶ γὰρ 28
εἰ τοῦτο θήσομεν, δεήσει καὶ κακῶς πράττειν, καὶ βέλτιον

26. χωρῶν ἀφορίαι. Cod. χορῶν.
27. ἵνα νοσοῦντος. Fort. add. αὐτοῦ. — μᾶλλον τῶν ἃ δεῖ. Cod. αἳ δεῖ.

ἔχειν κατ' αὐτὸν καὶ πονηρὸν μὲν εἶναι καὶ χρηστὸν, ἄθλιον δὲ καὶ μακάριον τὸν αὐτὸν, ἔστιν ἐφ' ὧν τῶν μὲν ταῦτα τῶν δ' ἐκεῖνα ψηφιζομένων. Εἰ δ' ἔστιν ὡς ἀληθῶς ἄνθρωπος ἡ γνώμη καὶ τὸ λογίζεσθαι, ὧν τῶν ἄλλων οὐδὲν αὐτῷ κοινωνεῖ, τοῦτο μὲν ἀρετὴν ἀνθρώπου, τοῦτο δὲ κακίαν δύναται φέρειν· καὶ τὸ δυστυχεῖν ἂν εἴη κατὰ ταῦτα καὶ τὸ πράττειν καλῶς, καὶ τὸ νοσεῖν καὶ τὸ ὑγιαίνειν, καὶ τὸ στένοντα ζῆν καὶ τὸ τρυφᾶν, τὰ μὲν παρα-
29 τραπέντων ἐκείνων, τὰ δ' ἐν οἷς ἔδει μενόντων. Ἐπεὶ δὲ παρατροπὴ μὲν λογισμοῦ τὸ ψεῦδος, τῆς δὲ γνώμης τὸ πονηρὸν, ζητεῖν ὑπόλοιπον, τίνι τούτῳ σαφεῖ τεκμηρίῳ ἑκατέρας εἰσόμεθα τὴν παρατροπήν. Πολλῶν δὲ γενομένων τὸ πάντων ἱκανώτατον ἡ κρίσις αὐτοῦ τοῦ θεοῦ, καὶ ἀγαθὸν μὲν καὶ ἀληθὲς, ὅπερ ἐκείνῳ δοκεῖ, φαῦλον δὲ καὶ ψεῦδος ὃ μὴ τῶν ἐκεῖθεν ἔτυχε ψήφων· καὶ ἃ μὲν ἐκεῖνος μανθάνειν ἀξιοῖ τὸν ἄνθρωπον, ταῦτ' ἀληθῆ, ἃ δὲ βούλεσθαι κελεύει, ταῦτα χρηστὰ, τὰ δὲ τούτοις πολε-
30 μοῦντα γέμει μὲν ἀπάτης, γέμει δὲ πονηρίας. Τῶν δὲ θείων χρησμῶν οἱ μὲν ἀνθρώπων κομιζόντων εἰς τὴν γῆν ἦλθον, τῶν δὲ αὐτὸς ἦν ὁ θεὸς ἄγγελος ἀνθρώπου φύσιν ἐνδὺς καὶ ἄνθρωπος ἀνθρώπου φωνῇ συγγενεῖ τὰ δέοντα μηνύσας. Τί ἦν ἢ χρησιμώτερον τῶν παραγγελμάτων ἢ ἀληθέστερον τῶν δογμάτων, ἐφ' ὧν ὁ θεὸς αὐτὸς μὲν νομοθέτης, αὐτὸς δὲ δημιαγωγὸς ἦν, εἴγε μόνος μὲν ἀλήθεια, μόνος δέ
31 ἐστιν ἀγαθός! Εἰ τοίνυν χρὴ μαθεῖν, ἃ παρατροπὴ τῆς φύσεως ὄντα λυπεῖ τὸν ἀληθινὸν ἄνθρωπον, τἀναντία τούτων προσήκει λαβεῖν. Ἐκεῖνο γὰρ ἀληθῶς κακὸν, ὃ πρὸς τὴν γνώμην ἐκείνην ἵσταται, πονηρὸν δὲ ὃν καὶ μισεῖν εἰκὸς οἷς ἐμέλησε τοῦ ἀγαθοῦ, μισοῦντας δὲ ἀπεύχεσθαι

---

28. ἀρετὴν ἀνθρώπου. Fort. leg. ἀνθρώπῳ.

30. ὁ θεὸς ἄγγελος. Codicis lectionem ἄλλος mutavi in ἄγγελος. τὰ δέοντα μηνύσας. Fortasse praeferendum δοκοῦντα. Cod. δοῦντα et statim infra post μηνύσας h. τις.

31. παρόντος δὲ ἀνεῖσθαι. Ex conjectura addidi παρόντος, quod om. cod.

κοινὸν, τῷ δὲ ταύτην ἐκ μέσου γενέσθαι, πάντων τῶν ἐπισχεῖν ἂν δυνηθέντων τὴν πονηρίαν ἀνηρημένων, καὶ τοῦ τάγαθὸν εἰσφέροντος λογισμοῦ τῷ πολλάκις ἐπισταμισθῆναι σεσιγηκότος, ἐπ' ἔσχατα χωρεῖν αὐτοὺς τῶν κακῶν, οὐδὲν χαλεπόν.

Διὰ ταῦτα τὴν μέριμναν οἱ σπουδαῖοι φυλάττονται, 41
καὶ πρὸς τὴν ῥίζαν ἐξ ἀρχῆς ἵστανται τῶν κακῶν καὶ τὴν καρδίαν τῷ θεῷ μόνῳ τηροῦσι, καθάπερ ἄλλο τι τέμενος τὴν μνήμην ἐξελόντες αὐτῷ. Καὶ γὰρ ἴσασι, τῶν 42
μὲν ἱερῶν οἴκων τοῖς πολλοῖς οὐδὲ ψαύειν ἐξεῖναι, καὶ σκευῶν καὶ πέπλων τοῖς οὕτως ἀφωρισμένοις πρὸς ἄλλο τι χρῆσθαι τῶν ἀθεμίτων εἶναι, ψυχῆς δὲ θεῷ καθιερωθείσης οὐδὲν ἴσον εἶναι τῶν ἱερῶν, ὅθεν καὶ χρῆναι παντὸς μᾶλλον ἄδυτον εἶναι τοῖς πωλοῦσι καὶ ἀγοράζουσι, καὶ τραπεζῶν καὶ κολυβιστῶν καὶ τοιούτων ἀπηλλάχθαι πραγμάτων. Εἰ γὰρ τὸν τῆς προσευχῆς οἶκον οὕτως ἔχειν ἐχρῆν, 43
ὅπως δεῖ νομίζειν αὐτὸν τὸν εὐχόμενον, ὑπὲρ οὗ καὶ τὸ χωρίον ἐκεῖνο καθαρεύειν ἔδει θορύβων; καίτοι τῷ μὲν ἑκάστοτε τοὔνομα οὐκ ἦν ἐνεργὸν, οὐδ' ἦν ἀεὶ προσευχῆς οἶκος, τῶν εὐχομένων ἐνίοτε κενὸς ὤν· Χριστιανοὺς δὲ τῇ τοῦ θεοῦ συνουσίᾳ προσκεῖσθαι τὸν ἀεὶ χρόνον ἀδιαλείπτως προσευχομένους, ὁ τοῦ Παύλου κελεύει νόμος. Κἀ- 44
κεῖνο δὲ συνορῶμεν· τῶν γὰρ ἄλλων ὁ σωτὴρ ἁμαρτημάτων λόγοις ἀπάγων ἐνταῦθα καὶ γλώσσῃ κέχρηται καὶ ὀργῇ καὶ χειρὶ καὶ μάστιγι, λογίζεσθαι παρέχων, ὅσης ἀξιοῖ τὸ πράγμα σπουδῆς. Ταῦτα γὰρ οὐ τὸν νεὼν το- 45
σοῦτον ἐκεῖνον βουλομένου σεμνύειν, ὃν κατασκαπτόμενον περιεῖδεν, ὅσον τῶν πιστῶν ἕκαστον, παρ' οἷς ἐπηγγείλατο μένειν, μεριμνης ἀπηλλάχθαι καὶ φροντίδων ὅσου τιμᾶται, δεικνύντος ἦν, καὶ ἅμα ὡς ἰσαμὸν τὸ πάθος, καὶ χρεία

---

40. ἐκ μέσου γενέσθαι. Cod. ἐμμέσου.
42. ψυχῆς — καθιερωθείσης. Fort. leg. ψυχῇ — καθιερωθείσῃ.
43. ἀδιαλείπτως προσευχομένους. Cod. ἀδιαλείπτους.
45. ἰσαμὸν τὸ πάθος. Conf. Eust. Opusc. p. 278. n. 40.

37 Τούτῳ δὲ τῷ τρόπῳ καὶ αὐτὸς ὕστερον κατὰ τῆς ἁμαρτίας ἐχρήσατο τὸν ἄνθρωπον εἰσελθὼν, καὶ δεῆσαν ἐκβαλεῖν τῆς φύσεως τῶν ἀνθρώπων τὴν ἁμαρτίαν ἀλγήσας
38 ἐξέβαλε. Καὶ μὴν οὐ τοῦτο δὲ μάταιον, εἴ τις ἐφ' ὁτῳοῦν ἀνιᾶται τῶν εἰς σῶμα φερόντων, ἀλλὰ καὶ ζημία περιφανής· τοῦτο γάρ ἐστι, θεοῦ τι τῶν ἄλλων ἔμπροσθεν ἀγαγεῖν! Ταύτης τῆς πονηρίας ἔσχατον μὲν ἡ τοῦ Ἰούδα μανία, μικρὸν ἀργύριον τοῦ θεοῦ καὶ σωτῆρος ἀλλαξαμένου, ἀρχὴ δὲ καὶ σπέρμα τὸ πρὸ, τὴν ἐκείνου μνήμην τοῦτο παθεῖν, καὶ τῆς ἐν αὐτῷ διατριβῆς ἐκκρουσθῆναι τῷ
39 φιλεῖν ἄλλο τι τῶν πάντων. Τούτου γὰρ ἐπιδεδωκότος τοῦ πάθους, καὶ τῆς τοῦ θεοῦ λήθης τὴν χώραν τῆς ψυχῆς κατασχούσης ἡ περὶ αὐτὸν ἀγάπη μαραίνεται, ἐπεὶ καὶ τοὐναντίον τῇ συνεχεῖ μνήμῃ φύεται, τοῦ δὲ φίλτρου σβεσθέντος ἡ περὶ τὰς ἐντολὰς αὐτοῦ ῥᾳθυμία καὶ τὸ παρανομεῖν εὐθὺς ἀπαντᾷ, — „καθάπερ ὁ ἀγαπῶν μέ φησι τὰς ἐντολάς μου τηρήσει", — τοῖς δὲ τοὺς τοῦ θεοῦ νόμους πατοῦσι καὶ τὰ τοιαῦτα τολμηταῖς καὶ τὸν τῆς πίστεως προδοῦναι λόγον, ἄν τι δέῃ κερδαίνειν, οὐδὲν ἀπᾷ-
40 δον. „Τῆς γὰρ συνειδήσεως τινες ἀστοχήσαντες περὶ τὴν πίστιν ἐναυάγησαν", ὁ μακάριος ἔφη Παῦλος· „νεκρὰ γάρ ἐστί φησιν ἡ πίστις", οἷς τῶν καταλλήλων οὐκ ἐμέλησεν ἔργων, ὅθεν εἰ διαφθείροιτο ῥαδίως, καινὸν οὐδέν. Τριῶν γὰρ ὄντων, ἃ τῷ θεῷ παρ' ἡμῖν φυλάττει τὸ σέβας, τοῦ φόβου τῶν κειμένων τοῖς ἀσεβέσι κακῶν, τῆς ἀγαθῆς τῶν εὐσεβούντων ἐλπίδος, τοῦ περὶ αὐτὸν θεὸν καὶ τὸ καλὸν ἔρωτος, ἐνεργὸν οὐδὲν ταῖς τῶν παρανομεῖν ἐγνωκότων καταλείπεται ψυχαῖς· ἀλλὰ καθάπερ οἷς ὁ βίος τοῖς τοῦ θεοῦ τάττεται νόμοις, ἡ περὶ αὐτὸν αἰδὼς αὔξεται, τὸν ἴσον τρόπον τοὺς τῶν λογίων ὑπερόπτας κατὰ μικρὸν ἐπιλείπει, καὶ προϊοῦσι πρὸς τὸ καλὸν τοῦτο πάθος οὐδὲν

---

39. *καθάπερ ὁ ἀγαπῶν.* Joh. 14, 21.

40. *ἐναυάγησαν.* 1 Tim. 1, 6. et vs. 17. *νεκρὰ γάρ.* Jac. 2, 17. 20.

κοινὸν, τῷ δὲ ταύτην ἐκ μέσου γενέσθαι, πάντων τῶν ἐπισχεῖν ἂν δυνηθέντων τὴν πονηρίαν ἀνηρημένων, καὶ τοῦ τἀγαθὸν εἰσφέροντος λογισμοῦ τῷ πολλάκις ἐπιστομισθῆναι σεσιγηκότος, ἐπ' ἔσχατα χωρεῖν αὐτοὺς τῶν κακῶν, οὐδὲν χαλεπόν.

Διὰ ταῦτα τὴν μέριμναν οἱ σπουδαῖοι φυλάττονται, 41
καὶ πρὸς τὴν ῥίζαν ἐξ ἀρχῆς ἵστανται τῶν κακῶν καὶ τὴν καρδίαν τῷ θεῷ μόνῳ τηροῦσι, καθάπερ ἄλλο τι τέμενος τὴν μνήμην ἐξελόντες αὐτῷ. Καὶ γὰρ ἴσασι, τῶν 42
μὲν ἱερῶν οἴκων τοῖς πολλοῖς οὐδὲ ψαύειν ἐξεῖναι, καὶ σκευῶν καὶ πέπλων τοῖς οὕτως ἀφωρισμένοις πρὸς ἄλλο τι χρῆσθαι τῶν ἀθεμίτων εἶναι, ψυχῆς δὲ θεῷ καθιερωθείσης οὐδὲν ἴσον εἶναι τῶν ἱερῶν, ὅθεν καὶ χρῆναι παντὸς μᾶλλον ἄδυτον εἶναι τοῖς πωλοῦσι καὶ ἀγοράζουσι, καὶ τραπεζῶν καὶ κολυβιστῶν καὶ τοιούτων ἀπηλλάχθαι πραγμάτων. Εἰ γὰρ τὸν τῆς προσευχῆς οἶκον οὕτως ἔχειν ἐχρῆν, 43
ὅπως δεῖ νομίζειν αὐτὸν τὸν εὐχόμενον, ὑπὲρ οὗ καὶ τὸ χωρίον ἐκεῖνο καθαρεύειν ἔδει θορύβων; καίτοι τῷ μὲν ἑκάστοτε τοὔνομα οὐκ ἦν ἐνεργὸν, οὐδ' ἦν ἀεὶ προσευχῆς οἶκος, τῶν εὐχομένων ἐνίοτε κενὸς ὤν· Χριστιανοὺς δὲ τῇ τοῦ θεοῦ συνουσίᾳ προσκεῖσθαι τὸν ἀεὶ χρόνον ἀδιαλείπτως προσευχομένους, ὁ τοῦ Παύλου κελεύει νόμος. Κἀ- 44
κεῖνο δὲ συνορῶμεν· τῶν γὰρ ἄλλων ὁ σωτὴρ ἁμαρτημάτων λόγοις ἀπάγων ἐνταῦθα καὶ γλώσσῃ κέχρηται καὶ ὀργῇ καὶ χειρὶ καὶ μάστιγι, λογίζεσθαι παρέχων, ὅσης ἀξιοῖ τὸ πράγμα σπουδῆς. Ταῦτα γὰρ οὐ τὸν νεὼν το- 45
σοῦτον ἐκεῖνον βουλομένου σεμνύειν, ὃν καταισκαπτόμενον περιεῖδεν, ὅσον τῶν πιστῶν ἕκαστον, παρ' οἷς ἐπηγγείλατο μένειν, μεριμνης ἀπηλλάχθαι καὶ φροντίδων ὅσου τιμᾶται, δεικνύντος ἦν, καὶ ἅμα ὡς ἰσομοιρὸν τὸ πάθος, καὶ χρεία

---

40. ἐκ μέσου γενέσθαι. Cod. ἐμμέσου.
42. ψυχῆς — καθιερωθείσης. Fort. leg. ψυχῇ — καθιερωθείσῃ.
43. ἀδιαλείπτως προσευχομένους. Cod. ἀδιαλείπτους.
45. ἰσομοῖρον τὸ πάθος. Conf. Eust. Opusc. p. 278. n. 40.

θυμοῦ καὶ ψυχῆς ἐστώσης καὶ νήφοντος λογισμοῦ, καὶ πρό γε τούτων αὐτῆς τῆς χειρὸς τοῦ σωτῆρος, ὃν ἔνδον μὴ
46 λαβόντας τὸν θόρυβον ἀμήχανον ἐκβαλεῖν. Διὰ ταῦτα τὸ ἱερόσυλον θανάτῳ ζημιοῦσθαι νόμιος ἔκειτο, καὶ τοῖς τῶν ἁγίων ἁγίοις παραπετάσματος ἐδέησε. Ὀζὰ ἀπέθνη σκε τῇ κιβωτῷ περιτραπείσῃ χεῖρα βέβηλον ὑποσχών, καὶ Ὀζίας λέπραν τῶν ἱερῶν ἀπώνατο, καὶ πολλὰ δὴ τοιαῦτα τῇ βεβαπτισμένῃ ψυχῇ τὸ καθαρῶς ἄσυλον τῷ ἀλη-
47 θινῷ θεοῦ τεμιένει νομοθετεῖ. Διὰ ταῦτα τοῖς ἐν Χριστῷ ζῶσιν εἰλικρινῆ μερίμνης τὴν ψυχὴν ἔχειν, πολλοῦ τινος εἶναι δοκεῖ· κἄν τι τὴν γνώμην εἰσέλθῃ τῶν εἶναι προύργου δοκούντων, οὐκ ἐπιστρέφει τὸν λογισμὸν, καθάπερ τῷ Πέτρῳ τῶν ἐν χερσὶν οὐδὲν ἐμέλησεν, ἐπεὶ καλοῦντος
48 τοῦ σωτῆρος ἤκουσε. Καὶ γὰρ καὶ αὐτοὶ καλοῦνται κλήσίν τινα συνεχῆ καὶ διηνεκῆ διὰ τῆς ἐνσημανθείσης ἀπὸ τῶν μυστηρίων τῇ ψυχῇ χάριτος, ἥτις ἐστὶ, Παῦλος εἶπε, τὸ τοῦ υἱοῦ τοῦ θεοῦ πνεῦμα ἐν ταῖς καρδίαις αὐτῶν κράζον ἀββᾶ ὁ πατήρ· καὶ οὕτως ἑκάστοτε πάντων ὑπερορῶσιν, ἵν' ἑκάστοτε τῷ Χριστῷ δυνηθῶσιν ἀκολουθεῖν· ὅτι οὐ καλόν ἐστί φησιν ἀφέντας „τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις", πρῶτον μὲν ὅτι μηδὲν αὐτοῖς πρὸ τοῦ θεοῦ, ἔπειθ' ὅτι καὶ πάντα παρ' αὐτῷ τἄλλα προσ-
49 δοκῶσιν εὑρήσειν, τῶν ἀγαθῶν ὄντι πάντων ταμίᾳ. Καὶ γὰρ αἰτοῦσι πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, τοῦ ἀψευδοῦς ἐπαγγελία, πάντα τἄλλα ἀκολουθήσειν. Ὑπὲρ τούτων μερίμνης τοὺς αὐτῷ προσκειμένους ὁ σωτὴρ ἀπάγων ἁπάσης πολὺν τοῦ νόμου τούτου ποιεῖται λόγον, ἵνα τε μὴ τῶν μειζόνων ἀποστερῶντα, καὶ ὅτι μάτην κόπτονται φρον-
50 τίζοντες, ὧν πρὸ αὐτῶν ἐκείνῳ μελήσει. Εἰ δὲ τὸ μεριμνᾶν ὑπὲρ τούτων ζημία, τὸ ἀνιᾶσθαι ποῦ θήσομεν, ὃ μὴ μόνον ἐστὶ τοῦ θεοῦ τῇ μνήμῃ τὴν ψυχὴν ἀφεστάναι,

---

46. Conf. de Oza 2 Sam. 6, 6., de Ozia 2 Chron. 26, 16 sqq.
48. *Παῦλος εἶπε.* Rom. 8, 15. — *διακονεῖν τραπέζαις.* Act. 6, 2.
49. *ἀκολουθήσειν.* Fort. leg. *ἀκολουθήσει.*

ἤδη κατωρθωμένων γινώσκουσιν; Οὐ γὰρ τὸ ταῖς σπου- 59
δαῖς ἀκόλουθον τέλος ἐκ παντὸς τρόπου ζητοῦντες, ἀλλ'
ὅπερ ἂν συνενέγκοι, οὔτε μέλλοντες μεριμνῶσι, μάλα σα-
φῶς εἰδότες ὅτι τεύξονται τῶν εὐχῶν, καὶ στέργουσιν
ἀπαντήσει τὸ πάντων λυσιτελέστατον καὶ ὅπερ ηὔξαντο,
τοῦτ' αὐτὸ πιστεύοντες εἶναι. Καὶ ὅλως καθάπερ ὁδοιπό- 60
ροις, ἐπειδὰν ἀγωγοῦ τύχωσιν, ἡγεῖσθαι καλῶς αὐτοῖς οἵ
δεῖ βαδίζειν ἐπισταμένου, πλάνης οὐδεὶς ἂν γένοιτο φόβος,
οὐδ' ἔστι περὶ τοῦ καταλύματος αὐτοῖς φροντὶς οὐδεμία,
τὸν ἴσον τρόπον καὶ αὐτοὶ τῷ πάντα δὲ δυναμένῳ τῶν
περὶ αὐτοῦ φροντίδων ἐκστάντες καὶ τοῦτον βίου καὶ τῆς
περὶ τοῦτον σπουδῆς προστησάμενοι μόνον, μεριμνης αὐτοὶ
καθαρὰν ἔχουσι τὴν ψυχήν· ἵνα τοῦ ὡς ἀληθῶς ἀγαθοῦ
μόνου ποιούμενοι λόγον τὰ κυρίου μεριμνῶσιν, ὥσθ' ὑπὲρ
μόνων τῶν ἐκείνῳ δοκούντων, ἄν τι δέῃ, φοβηθῆναι καὶ
ὁτιοῦν τοιοῦτον παθεῖν. Ἐνταῦθα γὰρ οὐχ ἑαυτοῖς 61
μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις λυσιτελεῖς καθεστᾶσιν· ὃ καὶ
θαυμάσαι τις ἂν τῆς τοῦ θεοῦ χρηστότητος, εἰ νόσον μὲν
οὐδεὶς ἂν φύγοι τὸ φάρμακον ἄλλου πίνοντος, εὐθύνης δὲ
λύοιτ' ἂν ἀλγούντων ἑτέρων.

Ὁ μὲν οὖν ἀνιᾷ τοὺς ἐν Χριστῷ ζῆν βουλομένους, 62
φανερὸν ἐκ τῶν εἰρημένων· πῶς δὲ καὶ τίσι χρωμέ-
νους τοῖς λογισμοῖς, προσθεῖναι λοιπόν. Οὐ μὲν τῶν
αὐτῶν ἕνεκα πάντες περὶ τῆς ἁμαρτίας ἀλγοῦσιν, ἀλλὰ
τοὺς μὲν δακρύειν ἀλαζονεία τὸ πεῖθον, ὅτι τῶν μεγίστων
σφᾶς αὐτοὺς ἀξιοῦντες παρὰ τὰς ἐλπίδας πράττουσι, τοῖς
δὲ ἀνιαρὸν ἡ τῶν ἄθλων οἶμαι ζημία· τρῖς πλείοσι δὲ ὁ
τῆς εὐθύνης φόβος, τοῖς δέ γε πάντων ἀρίστοις ὁ περὶ
τὸν νομοθέτην ἔρως ἀφόρητον ἐργάζεται τὸ παρα-
νομεῖν. Καθάπερ γὰρ τῶν κατορθούντων τὴν ἀρίστην 63

---

59. *καὶ στέργουσιν.* Fort. add. *ὃ ἄν* et scribendum *ἀπαντήσῃ.*
60. *πάντα δὲ δυναμένῳ.* Fort. leg. *δή.*
62. *ἔρως ἀφόρητον.* Cod. *ἀφθόρητον.*

ἄν τε ζητοῦντες ὃ φιλοῦμεν, ὡς οὐ ληψόμεθα, σαφῶς εἰ-
55 δῶμεν, τοῦ μεριμνᾶν οὐδεὶς καταλείπεται τόπος. Οὐδεμία γὰρ ἐνταῦθα φροντὶς οὐδὲ φόβος, ἐν οἷς ὁ τῆς μερίμνης ἔστηκεν ὅρος, ἀλλ' ἀτεχνῶς ὡς ἤδη τοῦ κακοῦ παρόντος λύπη τὸ πάθος· τῶν δὴ μεριμνᾶν ποιούντων τῶν ἐν Χριστῷ ζώντων οὐδετέρου ταῖς ψυχαῖς ἐνοχλοῦντος, ἀνάγκη τῶν ἀπὸ τῆς μερίμνης αὐτοὺς ἀπηλλάχθαι κακῶν. Οὔτε γὰρ οὐδενὶ προστετήκασι τῶν παρόντων, καὶ εἴ τι πρὸς τὴν τοῦ σώματος ἐργάζονται χρείαν, τὸ τέλος ἑκάστοτε τῆς σπουδῆς ἴσασι τρόπον δή τινα· τὸ γὰρ τῷ θεῷ δο-
56 κοῦν τοῖς πόνοις εὔχονται πέρας, καὶ ὡς ἀπατήσει τὰ παρὰ τῶν εὐχῶν αὐτίκα, μάλα σαφῶς γινώσκουσι. Μεριμνῶεν γὰρ ἂν ἡ τῶν πενήτων οἱ τρυφῆς ἐπιθυμοῦντες μείζω τῶν ὄντων τὴν πρὸς τὸν βίον ζητοῦσι παρασκευὴν, ἢ τῶν πλουτούντων οἷς πρὸ τῶν χρημάτων οὐδὲν, οἳ μενόντων τε παρ' αὐτοῖς τρέμουσι, μὴ φυγόντα λάθωσι, καὶ ἀναλουμένων ἀλγοῦσι, κἂν εἰς ἃ δεῖ μάλιστα τῷ σώματι δαπανῶσι, καὶ μάλιστα μὲν ὡς ἂν αὐτῶν ἀπό πως ἐρῶντες, ὥστε βούλοιντ' ἂν μᾶλλον μηδὲν ἐκεῖθεν ὠφελουμένους τὸν ἀεὶ χρόνον ἔνδον κατέχειν, ἢ προϊεμένους
57 ἃ δεῖ κερδαίνειν τῶν θησαυρῶν, ἔπειθ' ὅτι περὶ τῆς δαπάνης δεδοίκασι, μὴ μάτην αὐτοῖς ᾖ περὶ τοῦ τῶν πόνων τέλους ἥκιστα θαῤῥεῖν δυναμένοις, ἐπεὶ μὴ τῆς τοῦ θεοῦ χειρὸς τὰς ἐλπίδας ἐξῆψαν, ἑστῶτος καὶ βεβαίου πράγματος, ἀλλ' ἑαυτοῖς καὶ τοῖς ἑαυτῶν λογισμοῖς, ἐν οἷς πράττουσι, τὸ πᾶν ἐπιτρέπουσιν· οἳ „δειλοί τέ εἰσι καὶ ἐπισφα-
58 λεῖς" φησι Σολομών· ἐκείνοις δὲ πᾶσαν μὲν τρυφὴν μισοῦσι, πάντων δὲ τῶν ὁρωμένων ὑπερορῶσι, πάντων δὲ ὧν ἑαυτοῖς ἢ περὶ τῶν ἄλλων πονοῦσι, τῷ λύχνῳ τῶν τοῦ θεοῦ νόμων ἡγεμόνι χρωμένοις, μετὰ δὲ τῆς εἰς αὐτὸν ἐλπίδος πάντα ποιοῦσι, ὡς τὸ συνοῖσον αὐτοῖς ἀπαυτήσει, τίς ἀνάγκη μερίμνης; ἀνθ' ὅτου δὲ ἀγρυπνήσουσι, περὶ ὧν ὡς

55. πόνοις εὔχονται πέρας. Cod. vitiose περ' ἄς.
56. ὥστε βούλοιντ' ἄν. Fort. ὅτε β. ἀ.
57. ἐπεὶ μὴ τῆς. Cod. τίς. — οἳ δειλοί τε. Sap 9, 14.

ἤδη κατωρθωμένων γινώσκουσιν; Οὐ γὰρ τὸ ταῖς σπου- 59
δαῖς ἀκόλουθον τέλος ἐκ παντὸς τρόπου ζητοῦντες, ἀλλ' ὅπερ ἂν συνενέγκοι, οὔτε μέλλοντες μεριμνῶσι, μάλα σα-
φῶς εἰδότες ὅτι τεύξονται τῶν εὐχῶν, καὶ στέργουσιν ἀπαντήσει τὸ πάντων λυσιτελέστατον καὶ ὅπερ ηὔξαντο,
τοῦτ' αὐτὸ πιστεύοντες εἶναι. Καὶ ὅλως καθάπερ ὁδοιπό- 60
ροις, ἐπειδὰν ἀγωγοῦ τύχωσιν, ἡγεῖσθαι καλῶς αὐτοῖς οἷ δεῖ βαδίζειν ἐπισταμιένου, πλάνης οὐδεὶς ἂν γένοιτο φόβος,
οὐδ' ἔστι περὶ τοῦ καταλύματος αὐτοῖς φροντὶς οὐδεμία, τὸν ἴσον τρόπον καὶ αὐτοὶ τῷ πάντα δὲ δυναμένῳ τῶν
περὶ αὐτοῦ φροντίδων ἐκστάντες καὶ τοῦτον βίου καὶ τῆς περὶ τοῦτον σπουδῆς προσπησάμενοι μόνον, μεριμνης αὐτοὶ
καθαρὰν ἔχουσι τὴν ψυχήν· ἵνα τοῦ ὡς ἀληθῶς ἀγαθοῦ μόνου ποιούμενοι λόγον τὰ κυρίου μεριμνῶσιν, ὥσθ' ὑπὲρ
μόνων τῶν ἐκείνῳ δοκούντων, ἄν τι δέῃ, φοβηθῆναι καὶ ὁτιοῦν τοιοῦτον παθεῖν. Ἐνταῦθα γὰρ οὐχ ἑαυτοῖς 61
μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις λυσιτελεῖς καθεστᾶσιν· ὃ καὶ θαυμάσαι τις ἂν τῆς τοῦ θεοῦ χρηστότητος, εἰ νόσον μὲν
οὐδεὶς ἂν φύγοι τὸ φάρμακον ἄλλου πίνοντος, εὐθύνης δὲ λύοιτ' ἂν ἀλγούντων ἑτέρων.

Ὁ μὲν οὖν ἀνιᾷ τοὺς ἐν Χριστῷ ζῆν βουλομένους, 62
φανερὸν ἐκ τῶν εἰρημένων· πῶς δὲ καὶ τίσι χρωμένους τοῖς λογισμοῖς, προσθεῖναι λοιπόν. Οὐ μὲν τῶν
αὐτῶν ἕνεκα πάντες περὶ τῆς ἁμαρτίας ἀλγοῦσιν, ἀλλὰ τοὺς μὲν δακρύειν ἀλαζονεία τὸ πεῖθον, ὅτι τῶν μεγίστων
σφᾶς αὐτοὺς ἀξιοῦντες παρὰ τὰς ἐλπίδας πράττουσι, τοῖς δὲ ἀνιαρὸν ἡ τῶν ἄλλων οἷμαι ζημία· τοῖς πλείοσι δὲ ὁ
τῆς εὐθύνης φόβος, τοῖς δέ γε πάντων ἀρίστοις ὁ περὶ τὸν νομοθέτην ἔρως ἀφόρητον ἐργάζεται τὸ παρα-
νομεῖν. Καθάπερ γὰρ τῶν κατορθούντων τὴν ἀρίστην 63

---

59. *καὶ στέργουσιν.* Fort. add. *ὃ ἄν* et scribendum *ἀπαντήσῃ.*
60. *πάντα δὲ δυναμένῳ.* Fort. leg. *δή.*
62. *ἔρως ἀφόρητον.* Cod. *ἀφθόρητον.*

ἔχουσι τάξιν, οἷς οὔτε φόβος κακῶν οὔτε μισθῶν ἐλπίδες, ἀλλ' ὁ τοῦ θεοῦ μόνον ἔρως τοὺς περὶ ἀρετῆς εἰργάσατο πόνους, οὕτω τῶν ἁμαρτανόντων καὶ διὰ τοῦτο κοπτομένων, οἷς τὸ πένθος τὸ περὶ τὸν θεὸν ἐξέκαυσε φίλτρον, οἱ
64 βέλτιστοι τῶν ἄλλων εἰσίν. Ἐκεῖνοι μὲν γὰρ ἑαυτοῖς τὸ πάθος ἐργάζονται καὶ παρ' ἑαυτῶν ἐπὶ τὸ πενθεῖν ἔρχονται, καὶ ὅτι σφᾶς αὐτοὺς φιλοῦσι δακρύουσι, τούτους δὲ ὁ κινῶν αὐτός ἐστιν ὁ θεός· ὅθεν ἐπεὶ τῷ κινοῦντι τὴν φορὰν ἀνάγκη συμβαίνειν, τοσούτῳ τῆς λύπης ἐκείνη ταύτης βελτίων, ὅσῳ τῶν κινούντων τὸ μέσον, καθάπερ καὶ βέλει δρόμιος ἄριστος καὶ πρὸς τὸν σκοπὸν ἀτέχνως ἀπὸ
65 χειρῶν μάλιστα τοξεύειν ἐπισταμένων. Ἐπεὶ δὲ οὐκ ἐφ' οἷς δεῖ μόνον ἀνιᾶσθαι καὶ ὅπως, ἀλλὰ καὶ ὅσον, εἰδέναι χρή, — καὶ γάρ ἔστι μὲν ἔλαττον ἢ τοῖς ἡμαρτημένοις ἐστὶ προσῆκον ἀλγεῖν, ἔστι δὲ τῷ πάθει μᾶλλον τοῦ δέοντος συγχωρεῖν, — οἱ μετὰ τούτων πενθοῦντες τῶν
66 λογισμῶν τὸ μέτρον τῶν δακρύων εἴσονται. Καθάπερ γὰρ ἐν πληγῇ σώματος, ἕως μὲν ἔτι νοσεῖ τὸ μέλος, τῆς ἐκτριβείσης σαρκὸς ἀντεισενεγκεῖν δύναιτ' ἂν ἡ τὸ παράπαν οὐδὲν, ἢ τοῦ φυσικοῦ καὶ τεταγμένου μείζω τὸν ὄγκον, ἐπειδὰν δὲ ἡ φύσις ἑαυτῆς γένηται καὶ νόσου καθαρὰ, χωρεῖ πρὸς τὴν συμμετρίαν εὐθὺς, εἶτα δὲ καὶ τῶν ἐκληφθέντων οὐδὲν πλέον ἀναδοῦσα παύεται· τὸν ἴσον
67 τρόπον κἀπὶ τῶν τῆς ψυχῆς ἀῤῥωστημάτων ἂν ἔχοι. Τῆς γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι λύπης καὶ κακοπαθείας καὶ δακρύων καὶ τῶν τοιούτων ἁπάντων ἐκεῖνο ζητούντων, τὴν ἁμαρτίαν ἐξελεῖν, ἀποκαταστῆσαι δὲ τῶν τῆς ψυχῆς καλῶν ὅσον ἀπενήνεκται, ἡ τῶν θείων ἐρώτων προϊοῦσα λύπη, μόνη τῶν ἄλλων ὑγιὴς οὖσα, μόνη μὲν σὺν λόγῳ χωρεῖ, μόνη δὲ τῶν ἄλ-
68 λων τὸ μέτρον ἐπίσταται. Εἰ γὰρ προσέκοψαν, ἀλλ' οὐχ

---

63. οὔτε μισθῶν ἐλπ. Cod. ὅτε. — εἰργάσατο πόνους. Cod. πόνον.

64. ἐπὶ τὸ πενθεῖν ἔρχονται. Cod. ἄρχονται. — τοσούτῳ τῆς λύπης. Cod. τοσοῦτο et mox ὅσο.

66. εἶτα δὲ. Cod. εἶδε. — ἐκληφθέντων. Cod. ἐλειφθέντων.

τὴν τῆς ψυχῆς ἡδονὴν, καὶ οὐχ ἑαυτον μόνον καὶ τὰ ἑαυτοῦ θέλῃ οὐδὲ [illegible]λοτιμῆται τοῖς αὐτοῦ μόνον οὐδ' ἀγαπᾷ κερδαίνων, ἀλλ' ἡγῆται στεφανοῦσθαι νικώντων ἑτέρων. Ἐν τούτῳ γὰρ 78
τὴν φύσιν ὁ ἄνθρωπος ὑπερβαίνει καὶ θεῷ ἔοικεν, ὃς κοινόν ἐστιν ἀγαθόν. Ἄλλως τε τοῦτον τρόπον δῆλος γίνεται δι' ἑαυτὸ φιλῶν τ' ἀγαθὸν καὶ οὐ διὰ τὴν αὐτοῦ χρείαν, ὅταν καὶ παρ' ἄλλοις ὁρῶν οὐδὲν ἧττον ἥδηται· καὶ ἄλλου μὲν ἄλλο τι καιρὸς, τῶν δὲ ἀγαθῶν ἀνδρῶν τὸ τ' ἀγαθὸν βούλεσθαι πᾶσι καὶ χαίρειν εὐδοκιμούντων, καὶ τοῦτο σημεῖον ἄν τις θεῖτο τοῦ τελείως εἶναι χρηστοὺς, καθάπερ ἡ φορὰ τοῦ προενεγκόντος φυτοῦ δήλην καθίστησι τὴν ἀκμήν. Οὔτε γὰρ ἂν ἡ φύσις 79
ἐκεῖνο μὴ πρότερον ἐφ' ἑαυτοῦ τελειωθὲν ἐπὶ τῶν ὁμοίων ἐνέγκοι τόκων, οὔτε τῶν ἀνθρώπων οὐδεὶς ἄλλοις ἂν εἴη χρηστὸς, μὴ τοῦτ' αὐτὸ πρότερον γενόμενος ἑαυτῷ. Ἑαυτῷ 80
μὲν γὰρ πρὸ τῶν ἄλλων σύνεστιν, ἑαυτῷ δὲ συνήθης ἐστὶ, καὶ πρὸ πάντων ἑαυτῷ χρῆται καὶ τὰ χρηστὰ βούλεται καὶ εὔχεται· τί οὖν κωλύει πρότερον ἑαυτὸν ὠφελεῖν, εἴπερ ὁ μὲν τοῖς ἀγαθοῖς χαίρει, ἡ δὲ φύσις εἰς ἑαυτὸν πρότερον αὐτὸν ἐπιστρέφει καὶ τὴν αὐτοῦ πρόνοιαν καθάπερ καὶ τῶν ὄντων ἕκαστον. Ἑαυτῷ μὲν γὰρ ὅλως ἐστὶν, ἑαυτῷ δὲ πρώτως ἀγαθόν ἐστιν, καὶ τοῦ αὐτὸ ἕκαστον εἶναι, πρώτη καὶ κοινοτάτη πᾶσιν ἐπιθυμία.

Διὰ ταῦτα δῆλός ἐστιν, εἰ τῆς τῶν ἄλλων εὐδοκιμήσεως ἐρᾷ καὶ χαίροι τυχόντων, οὐκ αὐτὸς τῶν τοιούτων ἄμοιρος ὢν οὐδ' ἐλλιπῶς ἔχων· οὐδὲ γὰρ αὐτὸν ὑπερβὰς καὶ τὴν αὐτοῦ χρείαν, ὧν αὐτὸς ἐδέησε, περὶ τῶν ἄλλων ἐφρόντιζε. Πῶς γὰρ ἂν ἐν ταῖς τῶν ἄλλων χερσὶν ἐπιθυ- 81

---

79. *ἐνέγκοι τόκων.* **Sic scripsi pro** *τόκον*, **quod in codice habetur.**

80. *πρότερον αὐτὸν ἐπιστέφει.* **Cod.** *ἑαυτὸν.*

81. *εἰ τῆς τ. ἄλλων.* **Intellige** *ὁ χρηστός*, **de quo supra § 80 dicebatur.**

ἐξῆν· οὓς δὲ πρὸς τὴν φιλοσοφίαν τὸ τοῦ θεοῦ φίλτρον ἀνέστησεν, καὶ τιμῶσι τὸν νόμιον, ὅτι τὸν νομοθέτην στέργουσιν, ἐπειδὰν τῷ θεῷ προσκεκρουκότες ἑαυτῶν καταγνῶσιν, αὐτὴν τὴν ἁμαρτίαν ἑαυτοῖς μέμφονται καὶ δακρύουσι, οὐχ ὅτι τῶν ἐπ' ἀρετῇ μισθῶν ἐψεύσθησαν, ἀλλ'
73 ὅτι μὴ τῷ θεῷ τῇ γνώμῃ συνέβησαν. Ὅθεν ἐκεῖνοι μὲν καὶ μετεγνωκότες ἐφ' οἷς ἥμαρτον, κακίας οὐ παντελῶς καθαρὰν ἔχουσι τὴν ψυχὴν, καὶ διὰ ταῦτα ταλαιπωρίας τινὸς καὶ δακρύων καὶ πόνων ὑπὲρ τῶν ἡμαρτημένων δεῆσαν παρὰ τοῖς ὑγιαίνουσι τὸ μέτρον ζητήσουσι· οὗτοι δὲ
74 τὴν νόσον ἅπασαν ἐκβαλόντες ἑαυτοῖς ἀρκέσουσι. Διττῆς γὰρ οὔσης τῆς ἁμαρτίας ἀμφοτέρας φεύγουσι τὰς μερίδας· τῆς τε γὰρ ἐνεργείας αὐτῆς ἐπαύσαντο μεταμεληθέντες, καὶ πάθος πονηρὸν καὶ διάθεσις ἠτσοῦν οὐκ ἐνέμεινε, τοῦ πρὸς τἀγαθὸν καὶ τὸν θεὸν ταῖς ψυχαῖς ἐντακέντος αὐτοῖς πάθους μὴ συγχωροῦντος.

75 Καὶ περὶ μὲν τῆς λύπης τοσαῦτα· χαίρειν δὲ συμβαίνει μὲν παρόντων ἡμῖν ἃ φιλοῦμεν, συμβαίνει δὲ ἐλπιζομένων. Καὶ γὰρ τῇ ἐλπίδι χαίρομεν, Παῦλος εἶπεν, ὡς ἂν τῆς ἀγάπης τῇ χαρᾷ περὶ τὰ αὐτὰ συνεστώσης· καὶ δὴ χαίρομεν ἡμῖν αὐτοῖς καθόσον φιλοῦμεν, καὶ ἄλ-
76 λοις ἡμῶν αὐτῶν χάριν. Εἰσὶ δὲ οἳ καὶ δι' ἑαυτοὺς ἡδεῖς εἰσιν, ἐπειδὰν αὐτοί τε ἀγαθοὶ ὦσι τοὺς τρόπους καὶ εὐ γνωμιόνων τύχωσι τῶν ἐπιτηδείων. Ὁ τοίνυν σπουδαῖος, φιλητὸν μόνον ἐπισάμενος τἀγαθὸν, δι' ἐκεῖνο μὲν ἑαυτῷ χαίρει, δι' ἐκεῖνο δὲ καὶ τοῖς ἄλλοις, τοῦτο μὲν εἰ τοὺς
77 τρόπους ἐοίκασι, τοῦτο δὲ εἰ πρὸς τἀγαθὸν βοηθοῦσι. Καὶ ἄλλως δὲ τούτων χωρὶς τοῖς ἀλλοτρίοις ἀγαθοῖς ὁ ἀγαθὸς ἄνθρωπος χαίρει, καὶ τῶν εὐχῶν αὐτῷ καὶ τῆς ἐπιθυμίας καὶ τοῦτο πέρας, εἴ τις εὖ πράττει. Καὶ τοῦτό ἐστιν ὁ ἐλευθεριώτατος τῆς ἡδονῆς τρόπος, ὅταν κοινὴν ποιῆται

---

74. ἐντακέντος αὐτοῖς πάθους, Cod. πάθος
75. Cfr. Rom. 12, 12.
77. καὶ ἄλλως δέ τ. Cod. ἄλλως.

ρὰν ἡδονήν. Ἐπεὶ γὰρ τὸν θεὸν φιλεῖ πρὸ πάντων ὁ ζῶν ἐν αὐτῷ καὶ χαίρει τὴν ἀκόλουθον τοσῷδε φίλτρῳ χαρὰν, μᾶλλον δὲ ἀκριβέστερον ἂν εἴη θεωρητέον αὐτὴν, ἡλίκη τίς ἐστι καὶ ὅπως ἔχει σκοποῦντας. Πρῶτον μὲν γὰρ 87
οὐχ ἑαυτὸν αἰτίαν ποιεῖται τῆς ἐπ' ἐκείνῳ χαρᾶς, οὐδ' ἡδύς ἐστιν ὁ θεὸς αὐτῷ, ὅτι αὐτῷ ἐστιν ἀγαθός. Τοῦτο γάρ ἐστιν οὐ τὸν θεὸν αὐτὸν ἀληθῶς φιλοῦντος καὶ ἑαυτὸν μᾶλλον φιλοῦντος, καὶ πρὸς ἑαυτὸν ἐν οἷς ποιεῖσθαι καθάπερ τέλος ὁρῶντος. Ποῦ δὲ εὐγνώμιονος ἀνδρὸς, μὴ 88
φιλεῖν αὐτὸν κυρίως τὸν εὐεργέτην; ποῦ δὲ δικαίου, τῷ μεγίστῳ τῶν ἐφετῶν τῆς ἀγάπης τὴν ἐλάττω νέμειν μερίδα; ποῦ δὲ σοφοῦ, τοῦ ἐσχάτου τέλους ἄλλο τι περαιτέρω τιθέναι; Ἐπεὶ δὲ καὶ εὐγνώμιονα αὐτὸν εἰκὸς εἶναι καὶ δίκαιον καὶ σοφὸν, ἀνάγκη καὶ φιλεῖν τὸν θεὸν καὶ χαίρειν αὐτῷ τὸν ἄριστον τρόπον, ἔπειτα συνεχῆ καὶ βεβαίαν τὴν χαρὰν, ἔτι δὲ καὶ ὑπερφυᾶ τινα καὶ θαυμαστὴν ἀκόλουθον εἶναι. Συνεχῆ μὲν, ὅτι τοῖς τοῦ ποθουμέ- 89
νου σύνεστιν ἑκάστοτε, καὶ οἷς ἐντυγχάνει τὸν ἀεὶ χρόνον, καὶ ἃ τῷ σώματι χρῆται, καὶ ἃ λογίζεται, καὶ δι' ὧν ὑφέστηκε, καὶ οἷς ζῇ καὶ περίεστι καὶ ἐνεργεῖ, καὶ ὁπωσοῦν ἔχει καὶ γίνεται· πάντα μὲν οἶδεν ἔργα θεοῦ, πάντα δὲ αὐτῷ συνεχῆ, ὅθεν πάντα μὲν αὐτῷ τὴν ἐκείνου συντηρεῖ μνήμην, πάντα δὲ τὸ φίλτρον ἄσβεστον φυλάττει, πάντα δὲ τέρπει, καὶ οὔτε αὐτὸς ἂν ἑαυτὸν ἀπολίποι, οὐδὲ παύσαιτ' ἂν ἑαυτῷ συνὼν, οὔτε τὴν χαρὰν ταύτην διακοπῆναί ποτε δυνατόν. Οὐ γὰρ τοῖς φιλουμένοις ἐπειδὰν 90
συνῶμεν, χαίρομεν μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις τοῖς ἐκείνων καὶ πᾶσιν, οἷς καθ' ὁντινοῦν τρόπον ἐστί τι κοινὸν πρὸς ἐκείνους· ἄλλως τε καὶ οἷς παρ' ἑαυτῶν πολλή τις ἔπεστι χάρις καὶ σφόδρα τέρπειν οἴκοθεν δύναται καὶ βεβαία δέ. Οὔτε γὰρ ἂν ὁ χαίρων ἀπείποι τοιαύτῃ συνὼν 91

---

86. *μᾶλλον δὲ ἀκριβ.* Fort. *καί.* — *ἡλίκη.* Cod. *ἡ νίκη.* Conf. §. 95.

87. *ἐν οἷς ποιεῖσθαι.* Fort. addendum *δεῖ.*

82 μήσειεν ἰδεῖν, ὧν τὴν ἑαυτοῦ οἰκίαν ἔγνω κενήν; Εἰ δ' ἔνιοι τῶν πρὸς τἀγαθὸν καὶ τὴν ἀρετὴν φαύλως ἐχόντων, τῶν ἀρίστων περιτιθέντες ἑαυτοῖς προσωπεῖον πρὸς ἀρετὴν ἀλείφουσι, καὶ ὧν αὐτοὶ παντελῶς ἠγνόησαν, ἄλλοις ἡγεῖσθαι ζητοῦσιν, ἀλλὰ φήμης τινὸς ἐφιέμενοι τυχεῖν αὐτοὶ καὶ δόξης ψευδοῦς, οὐ τῆς ἀρετῆς καὶ τἀγαθοῦ χάριν! — ὡς τούς γε κατὰ τὸν ὀρθὸν λόγον τοῦτο ζητοῦντας
83 ἀμήχανον τελείως εἶναι χρηστούς. Τοῦτο γάρ ἐστι φθόνου μὲν καὶ βασκανίας ἁπάσης ἀπηλλαγμένων ἀνδρῶν, ἀγάπην δὲ πρὸς τὸ ὁμόφυλον εἰλικρινῆ καὶ τελείαν παρασχομένων, ὅπερ ἐστὶ τῆς ἐσχάτης ἐπιλαβέσθαι φιλοσοφίας· ἀνάγκη τοίνυν, οἷς μὲν ταύτης μέτεστι τῆς ἡδονῆς, τοὺς πάντων ἀρίστους εἶναι καὶ φιλοσοφωτάτους, τοῖς δὲ πάντων ἀρίστοις καὶ φιλοσοφωτάτοις καὶ ταύτης μετεῖναι τῆς
84 ἡδονῆς. Ἀκόλουθον γὰρ, τοῦ ἀγαθοῦ μετασχόντας τὴν τοῦ ἀγαθοῦ δεικνύναι φύσιν ἐν τῇ ψυχῇ· ἐκείνου δὲ τοῦ ἀγαθοῦ φύσις ἐκχεῖσθαι καὶ μεταδίδοσθαι. Καθάπερ γὰρ αὐτοῦ πάντα ἐφίεται, οὕτω καὶ αὐτὸ πέφυκε πρὸς πάντα χωρεῖν· οὐδὲ γὰρ ἂν πάντα αὐτοῦ τυγχάνειν ἐπεθύμουν, εἰ μὴ πᾶσιν ἑαυτὸ παρεῖχεν ἐκεῖνο· ματαίαν γὰρ εἶναι τὴν ἐπιθυμίαν οὕτω κοινοτάτην οὖσαν, πῶς εὔλογον;
85 Ὅθεν καὶ τὸν ἀγαθὸν ἄνθρωπον ὥσπερ ἑαυτῷ, οὕτω καὶ πᾶσι παρέχειν ἑαυτὸν, ὁ τῆς χρηστότητος ἀπαιτεῖ λόγος, καὶ ἀνιᾶσθαι καὶ ἥδεσθαι καὶ ὁτιοῦν πάσχειν τὴν ψυχὴν, πρὸς τὰ τῶν ἄλλων οὐδὲν ἧττον ἢ τὰ αὐτοῦ· καὶ ἄλλως δὲ τὸ τοῦ θεοῦ φίλτρον ταύτην αὐτὸν ἐργάζεται τὴν χαράν· οὐ γὰρ αὐτῷ τῷ φιλουμένῳ μόνον, ἀλλὰ καὶ οἷς αὐτὸς χαίρει, χαίρειν ἀνάγκη τὸν ἐραστήν.
86 Ἤκομεν δὲ ἐπ' αὐτὴν τὴν τελεωτάτην καὶ καθα-

---

82. φαύλως ἐχόντων. Cod. ἔχων. — τἀγαθοῦ χάριν. Scilicet τοῦτο ποιοῦσι, i. e. πρὸς ἀρετὴν ἀλείφουσι — ζητοῦσι.

83. τὸ ὁμόφυλον εἰλ. Cod. h. ὁμόφιλον, quod tamen nullibi, quod sciam, reperitur.

84. καὶ αὐτὸ πέφυκε. Cod. αὐτῷ. — πάντα αὐτοῦ τυγχάνειν. Fort. leg. πάντες.

ρὰν ἡδονήν. Ἐπεὶ γὰρ τὸν θεὸν φιλεῖ πρὸ πάντων ὁ ζῶν ἐν αὐτῷ καὶ χαίρει τὴν ἀκόλουθον τοσῷδε φίλτρῳ χαρὰν, μᾶλλον δὲ ἀκριβέστερον ἂν εἴη θεωρητέον αὐτὴν, ἡλίκη τίς ἐστι καὶ ὅπως ἔχει σκοποῦντας. Πρῶτον μὲν γὰρ 87
οὐχ ἑαυτὸν αἰτίαν ποιεῖται τῆς ἐπ' ἐκείνῳ χαρᾶς, οὐδ' ἡδύς ἐστιν ὁ θεὸς αὐτῷ, ὅτι αὐτῷ ἐστιν ἀγαθός. Τοῦτο γάρ ἐστιν οὐ τὸν θεὸν αὐτὸν ἀληθῶς φιλοῦντος καὶ ἑαυτὸν μᾶλλον φιλοῦντος, καὶ πρὸς ἑαυτὸν ἐν οἷς ποιεῖσθαι καθάπερ τέλος ὁρῶντος. Ποῦ δὲ εὐγνώμονος ἀνδρὸς, μὴ 88
φιλεῖν αὐτὸν κυρίως τὸν εὐεργέτην; ποῦ δὲ δικαίου, τῷ μεγίστῳ τῶν ἐφετῶν τῆς ἀγάπης τὴν ἐλάττω νέμειν μερίδα; ποῦ δὲ σοφοῦ, τοῦ ἐσχάτου τέλους ἄλλο τι περαιτέρω τιθέναι; Ἐπεὶ δὲ καὶ εὐγνώμονα αὐτὸν εἰκὸς εἶναι καὶ δίκαιον καὶ σοφὸν, ἀνάγκη καὶ φιλεῖν τὸν θεὸν καὶ χαίρειν αὐτῷ τὸν ἄριστον τρόπον, ἔπειτα συνεχῆ καὶ βεβαίαν τὴν χαρὰν, ἔτι δὲ καὶ ὑπερφυᾶ τινα καὶ θαυμαστὴν ἀκόλουθον εἶναι. Συνεχῆ μὲν, ὅτι τοῖς τοῦ ποθουμέ- 89
νου σύνεστιν ἑκάστοτε, καὶ οἷς ἐντυγχάνει τὸν ἀεὶ χρόνον, καὶ ἃ τῷ σώματι χρῆται, καὶ ἃ λογίζεται, καὶ δι' ὧν ὑφέστηκε, καὶ οἷς ζῇ καὶ περίεστι καὶ ἐνεργεῖ, καὶ ὁπωσοῦν ἔχει καὶ γίνεται· πάντα μὲν οἶδεν ἔργα θεοῦ, πάντα δὲ αὐτῷ συνεχῆ, ὅθεν πάντα μὲν αὐτῷ τὴν ἐκείνου συντηρεῖ μνήμην, πάντα δὲ τὸ φίλτρον ἄσβεστον φυλάττει, πάντα δὲ τέρπει, καὶ οὔτε αὐτὸς ἂν ἑαυτὸν ἀπολίποι, οὐδὲ παύσαιτ' ἂν ἑαυτῷ συνὼν, οὔτε τὴν χαρὰν ταύτην διακοπῆναί ποτε δυνατόν. Οὐ γὰρ τοῖς φιλουμένοις ἐπειδὰν 90
συνῶμεν, χαίρομεν μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις τοῖς ἐκείνων καὶ πᾶσιν, οἷς καθ' ὁντινοῦν τρόπον ἐστί τι κοινὸν πρὸς ἐκείνους· ἄλλως τε καὶ οἷς παρ' ἑαυτῶν πολλή τις ἔπεστι χάρις καὶ σφόδρα τέρπειν οἰκοθεν δύναται καὶ βεβαία δέ. Οὔτε γὰρ ἂν ὁ χαίρων ἀπείποι τοιαύτῃ συνὼν 91

---

86. *μᾶλλον δὲ ἀκριβ.* Fort. *καί.* — *ἡλίκη.* Cod. *ἡ νίκη.* Conf. §. 95.

87. *ἐν οἷς ποιεῖσθαι.* Fort. addendum *δεῖ.*

ἡδονῇ, οὔτε τὸ χάριεν παύσαιτο χάριεν ὄν. Ἐκεῖνος μὲν γὰρ οὐδὲν ἐγκαλέσει τῷ πάθει οὐδ' ἑαυτῷ μέμψαιτ' ἄν, ὑπὸ τοιαύτης κρατούμενος ἡδονῆς, ἣν οὔτε ἄδικόν ἐστιν εἰπεῖν, οὔτε παρὰ τὴν τοῦ λόγου φύσιν, ἥ γε αὐτὸν σώζει τὸν λόγον· τὸ δὲ χάριεν ἔχει, καὶ οὐκ ἔστι δεῖσαι περὶ αὐτοῦ οὐδ' ὑποπτεῦσαι παραλλαγὴν ἢ τροπῆς ἀποσκίασμα.

92 Τὸ δὲ μέγεθος τῆς ἡδονῆς συνίδοι τις ἄν, εἰ πρὸς αὐτὸ τὸ χάριεν ἴδοι· ἀνάγκη γὰρ προσήκειν τὴν χαρὰν τοῦ ἠδέος τῷ τοσῷδε μεγέθει. Ὥσπερ ἐκείνῳ παραβαλεῖν οὐκ ἔστιν οὐδὲν, οὕτως οὐδὲ τῆς ἐπ' ἐκείνῳ χαρᾶς γένοιτ' ἂν ἀνθρώποις ὅμοιον, ἐπεὶ καὶ ἡ τῆς ἐπιθυμίας δύναμις τῷ

93 ἐφετῷ συμβαίνει. Οὐ γὰρ τὸ μὲν ἐπιθυμητὸν οὕτω μέγα, τὸ δ' ἐπιθυμητικὸν φαύλως ἔχει, καὶ οἷον μὴ πρὸς τοσοῦτον ἀρκέσαι πλοῦτον χρηστότητος· ἀλλὰ καὶ τοῦτο πρὸς τὴν ἀπειρίαν ἐκείνην ἔχει καὶ παρεσκεύασται. Εἰ γὰρ καὶ ὥρισται τῇ φύσει σύμμετρον ὄν, ἀλλ' ὁρῶμεν ἐφαρμόζον αὐτῷ τῶν πεπραγμένων οὐδὲν, ἀλλ' ἔστιν αὐτοῦ πάντα ἐλάττω καὶ εἴσω πίπτει, καὶ πάντων, ὧν ἄν τις τύχοι καλῶν, κἂν πάντων τύχῃ, περαιτέρω βλέπει, καὶ ζητεῖ τὸ μὴ παρὸν τῶν ἀεὶ παρόντων ὑπερορῶν, καὶ τὴν ἐπιθυμίαν οὐδὲν μᾶλλον ἀνέπαυσεν οὐδ' ἥσθη καθαρῶς, καὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν τῆς χαρᾶς οὐ τελείως ἐνεργὸν ἔσχεν.

94 Ὅθεν δῆλον, πεπεράνθαι μὲν αὐτῷ τὸ ἐπιθυμητικὸν, παρεσκευάσθαι δὲ πρὸς ἄπειρον ἀγαθὸν, καὶ τὴν μὲν φύσιν ὡρίσθαι, τὴν δὲ ἐνέργειαν οὐκέτι καὶ τὴν ὁρμήν· καθάπερ καὶ πᾶσαν ἁπλῶς ἴσμεν τὴν τῆς ψυχῆς ζωὴν ἀτελεύτητον

95 οὖσαν πεπερασμένου πράγματος. Αἴτιον δὲ ὅτι καὶ τὴν ζωὴν τῆς ψυχῆς ὁ θεὸς καὶ τὴν χαρὰν καὶ τὸ καθ' ἡμᾶς ἅπαν εἰς ἑαυτὸν ἥρμοσε, καὶ ἡ μὲν ἀθάνατός ἐστιν, ἵνα θανάτῳ συζῶμεν αὐτῷ, ἡ δὲ ὅρον οὐκ οἶδεν, ἵν' ἐπ' αὐτῷ

---

91. *τὸ χάριεν παύσαιτο.* Cod. *παύσαι το.* — *χάριεν ἔστηκε.* Cod. *ἔστικε.* — *οἷς σύνεστιν.* Cod. *σύνεσιν.*

93. *εἴσω πίπτει.* Eandem dicendi formulam vide supra I, § 16.

94. *ἁπλῶς ἴσμεν τὴν τῆς.* Cod. *ἴαμεν.*

τὸ φιλεῖν τὸν θεὸν φύσει καὶ τῆς ψυχῆς ἐρῶντες αὐτῆς· τοῖς μὲν οὖν πολλοῖς, ἀγνοοῦσιν ὅθεν ἂν αὐτοῖς γένοιτο τὸ εὖ εἶναι, ἄλλων ἄλλοις ἔρως ἐστὶ, καὶ ἐπὶ τὸν σκοπὸν φορᾶς ἁμαρτάνοντες αἱροῦνται πολλάκις, ἀφ' ὧν ἔσονται χείρους, καὶ τὴν ψυχὴν οὔτε τιμῶσιν οἷς ἐχρὴν, οὔτε κατὰ λόγον περιορῶσιν. Οἱ δὲ σπουδαῖοι πρὸς τὸν θεὸν ἑαυτοὺς 105
τάξαντες, ὡς ἂν εἰδότες, ὅποι τὸ εἶναι ζητήσουσι καὶ ὅπως ἑαυτοῖς χρήσονται, μόνον μὲν ἔρωτος αἴτιον τίθενται τὸν θεὸν, μόνον δὲ δι' ἑαυτὸν στέργουσι καὶ τὴν ψυχὴν δι' ἐκεῖνον, καὶ τὸ εἶναι καὶ τἆλλα πάντα φιλοῦσιν, οὕτω δὲ φιλοῦντες τὴν ψυχὴν οὐκ αὐτὴν ἀληθῶς φιλοῦσιν, ἀλλ' ἐκεῖνον, δι' ὃν φιλοῦσιν. Εἰ δὲ καὶ ὡς οἰκεῖον τι τὴν 106
ψυχὴν φιλοῦμεν, οἰκειότερος ἡμῖν καὶ τῆς ψυχῆς αὐτῆς ὁ σωτὴρ, καὶ οἳ τοῦτο διὰ βίου σκοποῦσι μόνον, ἴσασι τὸν σωτῆρα πρὸς πᾶσιν αὐτοῖς συγγένειαν ἡρμοσμένον, καὶ δι' ἐκεῖνον αὐτοῖς καὶ τὴν ψυχὴν καὶ αὐτὸ τὸ εἶναι φίλον παὶ συγγενὲς ὄν, — καὶ γὰρ σπεύδεταί τις πρὸς ἑαυτὸν, ὅτι καὶ στασιάζει, καὶ οὐκ ἂν τύχοι γαλήνης, εἰ μὴ τοῦ θεοῦ τύχοι, — χωρὶς δὲ τούτων τοὺς ὀρθοὺς τῶν πραγμάτων διαιτητὰς, οὓς εἶναι χρὴ νομίσαι τοὺς ἐν Χριστῷ ζῶντας, μὴ τὸν θεὸν τῶν αὐτῷ προσηκόντων ἀποστερεῖν. Τοῦτο δέ ἐστιν, εἰ τέλειον ἀγαθὸν ὂν ἀτελεῖ τῇ 107
παρ' ἡμῖν φιλοῦμεν ἀγάπῃ, ἀτελῶς δ' ἂν φιλοῖμεν, εἴ τι καὶ ἄλλο φιλοῦμεν, τὸ φίλτρον μερίζοντες· ἐπεὶ καὶ ὁ νόμος „ἐξ ὅλης φησὶ τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας τὸν θεὸν ἀγαπήσεις.“ Ἐπεὶ τοίνυν πᾶσαν εἰς ἐκεῖνον φέροντες τιθέασι τὴν ἀγάπην καὶ φιλίας μέρος οὐδὲν οὔτε ἄλλοις καταλείπουσιν οὔτε σφίσιν αὐτοῖς, τῇ γνώμῃ σφῶν αὐτῶν καὶ πάντων ἀποδημιοῦσι. Τὸ γὰρ συνά- 108
πτον ἑκασταχοῦ τὸ φίλτρον ἐστίν· οὕτω δὲ πρὸς τὸν θεὸν μόνον ἑαυτοὺς πανταχόθεν μετενεγκόντες μόνῳ μὲν ζῶσι, μόνον δὲ φιλοῦσι, μόνῳ δὲ χαίρουσιν· ἐπεὶ καὶ

---

107. ἀτελῶς δ' ἂν φιλοῖμεν. Cod. φιλοῦμεν. — ἐξ ὅλης φησί. Deut. 6, 5.

γὰρ τῶν ἀνθρώπων ἔρως χρημάτων καὶ σωμάτων πείθει καταφρονεῖν, καὶ ἴδοις ἂν τοὺς μανικῶς φιλοῦντας οὐδ' ἂν εὐεκτῶσι, τῆς ὑγείας αἰσθανομένους, ἐπειδὰν χεῖρον ἔχοντας ταύτῃ τοὺς ἐπισταμένους ὁρῶσιν, οὔτε νοσοῦντας πρὸς τὴν ἀρρωστίαν ἐπιστρεφομένους, ἂν ἐκείνοις ἄμεινον ἔχῃ τὰ σώματα· καὶ πολλοὶ τοῖς ἐρωμένοις ἀμύνοντες ἡδέως ἀπέθνησκον, ἑλόμενοι τὰ σώματα προδοῦναι μᾶλλον ἢ κατακοπτομένους ἐκείνους ἰδεῖν. Ὁ δὲ πρὸς θεὸν ἔρως τοσοῦτον τοῦ τῶν ἀνθρώπων ἔρωτος μείζων, ὅσῳπερ τῶν φιλουμένων τὸ μέσον.

101 Τί οὖν ὑπόλοιποι, ὃ δι' αὐτὸν ἀναλώσομεν, ἢ τί μεῖζον ἐκείνῳ δώσομεν, εἰ μὴ καὶ ψυχῆς αὐτῆς ὁ κατασχεθεὶς ὑπερίδοι; περιορᾷ δὲ τὴν ψυχὴν ἀληθῶς οὐχ ὁ τὸ σῶμα ἀποκτείνας, ἀλλ' ὃς αὐτὴν ἐκείνην προδίδωσι καὶ τὰ αὐτῆς ἀγαθά· προδίδωσι δὲ καθάπερ ὁ μοχθηρὸς πρὸς τὰς τοῦ σώματος ἡδονὰς πάντα ἑαυτὸν ἀναλίσκων, οὕτως ὁ φιλόθεος πᾶσαν ψυχῆς ἐνέργειαν καὶ ἐπιθυμίαν εἰς τὸν
102 θεὸν ἐνεγκὼν καὶ μηδὲν τῇ ψυχῇ καταλείψας. Εἰ γὰρ καὶ ὅπως εὖ ἔχει, ποιεῖται λόγον, ἀλλ' οὐ τῷ ζητεῖν ἐκείνην καὶ τὰ αὐτῆς ἀγαθὰ, ἀλλὰ τῷ φιλεῖν τὸν θεὸν καὶ τῶν ἐκείνου κήδεσθαι νόμων ὅπως σώζοιντο· καθάπερ καὶ ὀργάνου ποιούμενοι λόγον διὰ τὸ ἔργον, τῆς περίγρας διὰ τὴν ἅμαξαν, οὐ τὴν περίγραν ἀλλὰ τὴν ἅμαξαν ζητοῦμεν.
103 Καὶ μὲν καὶ ὧδε γένοιτ' ἂν δῆλον. Τί γὰρ ὃ πείθει περιέχεσθαι τῆς ψυχῆς καὶ σφόδρα φιλεῖν; οὐδὲν ἢ τὸ εἶναι βούλεσθαι. Εἶναι δὲ βουλόμεθα διὰ τὸ εὖ εἶναι· οὐ γάρ τις ἂν εἶναι ἀνάσχοιτο δυστυχῶς ὤν· καὶ πολλοί γε τούτου χάριν ἑαυτοὺς ἐξήνεγκαν, καὶ ὁ σωτὴρ, „καλὸν ἦν
104 αὐτῷ φησιν, εἰ οὐκ ἐγεννήθη.“ Ἐπεὶ δὲ τὸ εἶναι καλῶς οὐκ ἔστιν ἢ τὸ φιλεῖν τὸν θεὸν, δῆλοι πάντως ἐσμὲν διὰ

---

100. ὕσῳπερ τῶν φιλουμ. **Fort. leg.** ὅσονπερ, **certe id rectius.**
103. καλὸν ἦν αὐτῷ. **Matth. 26, 24.**
104. ἢ τὸ φιλεῖν τ. θ. **Fort. leg.** τῷ φιλεῖν. — ψυχῆς ἐρῶντες αὐτῆς. **Cod.** αὐτοῖς.

τὴν ἡδονὴν, ἀλλ' ὥσπερ χαίρουσι τῶν ἀγαθῶν τοῖς παροῦσιν, οὕτως ἀλγεῖν αὐτοὺς εἰκὸς ὑπὲρ τῶν ἀπόντων ἢ τῶν παρόντων κακῶν, τοῖς δ' ἐν τῷ θεῷ τὴν ζωὴν μεταθεῖσιν ἡδονὴ μὲν ἐστιν εἰλικρινὴς, λύπη δὲ οὐδεμία, πολλῶν μὲν ὄντων τῶν ἐκείνου ποιούντων, ἀνιῶντος δὲ οὐδενός. Οὔτε γὰρ τῷ θεῷ σύνεστιν οὐδὲν ἀηδὲς, ᾧ ζῶσιν, 114
οὔτε τῶν αὐτοῖς παρόντων αἴσθησίς ἐστιν, εἴ τι καὶ δύνασται λυπεῖν· καὶ γὰρ ἑαυτῶν ζητεῖν αὐτοὺς, ὁ τῆς τελείας ἀγάπης λόγος οὐ συγχωρεῖ, — „οὐ γὰρ ζητεῖ φησι τὰ αὑτῆς", — ἀλλ' ἀγαπῶσιν ὅτι μακάριος ὁ φιλούμενος, καὶ τὸ πάθος ἄτοπον καὶ ὑπερφυὲς, γῆ καὶ σποδὸς τὰ τοῦ θεοῦ τῶν οἰκείων ἀλλάττονται καὶ γίνονται παραπλήσιον, ὥσπερ εἰ πένητες ἄνδρες καὶ δυστυχεῖς εἰς βασιλικὴν εἰσπεπαρκότες οἰκίαν ἄθροον μὲν τὴν σύνοικον ἀποῤῥίψοιντο πενίαν, περίθειντο δὲ τὴν ἐκεῖ λαμπρότητα πᾶσαν. Ὑπὲρ 115
οὗ καὶ νομίζω καὶ βιαστὰς αὐτοὺς λέγεσθαι καὶ τὴν βασιλείαν ἁρπάζειν, ὅτι μὴ τοὺς δώσοντας ἀναμένουσι οὐδὲ τοὺς αἱρησομένους ἀποσκοποῦσιν, ἀλλ' αὐτόματοι τοῦ θρόνου δράττονται καὶ ταῖς παρ' ἑαυτῶν ψήφοις περιτίθενται τὸ διάδημα. Εἰ γὰρ καὶ λαμβάνουσιν, ἀλλ' οὐκ 116
ἐν τούτῳ νομίζουσιν εὐδαιμονεῖν οὐδ' ἐνταῦθα τὴν ἡδονὴν ἔχουσιν, ἀλλ' ἐν τῷ φιλουμένῳ συνεγνωκέναι τὴν βασιλείαν, καὶ χαίρουσιν, οὐχ ὅτι αὐτοῖς κοινωνεῖ τῶν ἀγαθῶν, ἀλλ' ὅτι ἐκεῖνος ἐν ἀγαθοῖς, τοῦ δὲ παρ' ἑαυτῶν ἔχουσι καὶ τῆς οἰκείας εὐγνωμοσύνης· ὥστε εἰ μηδὲν αὐτοῖς ἦν κοινὸν πρὸς βασιλείαν μηδὲ μερίτας αὐτοὺς τῆς μακαριότητος ὁ φιλούμενος ἐποιεῖτο, μηδὲν ἧττον εὐδαιμονεῖν καὶ βασιλεύειν καὶ στεφανοῦσθαι καὶ πάντας τῆς βασιλείας ἀπολαύειν ἐκείνης. Ὅθεν ἁρπαγες εἰκό- 117
τως ἂν διὰ τοῦτο καλοῖντο καὶ βιασταὶ τῶν θείων ἀγαθῶν, εἰς τὴν ἀπόλαυσιν αὐτῶν ἑαυτοὺς εἰσωθοῦντες. Οὗτοί εἰσιν οἱ τὰς ψυχὰς μισοῦντες καὶ

---

114. *οὐ γὰρ ζητεῖ — αὑτῆς.* 1 Cor. 13, 5. Cod. *αὐτῶν.*
115. Conf. Matth. 11, 12.

τοῖς ἡμιῶν αὐτῶν τοῖς οἰκειοτάτοις βούλεσθαι καὶ συνεῖναι καὶ χαίρειν, οὐ τοῦτ' αὐτὸ ποιεῖ τὸ ἡμέτερα εἶναι, ἀλλ' ὅτι καὶ αὐτὰ φιλοῦμεν, ὡς ἂν μὴ τοῦτο ᾖ, τῆς οἰκειότητος ταύτης δι' ἑαυτὴν συνάγειν ἡμᾶς αὐτοῖς ἢ ποιῆσαι χαίρειν
109 μὴ δυναμένης. Πολλὰ γὰρ τῶν ἡμετέρων ἡμᾶς ἀνιᾷ, καὶ δὴ καὶ ἡμῖν αὐτοῖς ἔστιν ὧν ἐπιτιμῶμεν· ἔνιοι δὲ σφᾶς αὐτοὺς ἤδη καὶ μισοῦσι λαμπρῶς καὶ φεύγειν ἐπιθυμοῦσι
110 καὶ θανατῶσιν. Εἰσὶ δὲ οἳ καὶ ἐτόλμησαν καὶ πρὸ μοίρας ἀπῆλθον, βιασάμενοι ξίφεσιν ἢ βρόχῳ τὴν τελευτήν· ὅθεν δῆλον ὅτι πᾶσιν, οἷς σύνεσμεν καὶ χαίρομεν, καὶ τῇ ψυχῇ καὶ τοῖς οἰκειοτάτοις καὶ ἡμῖν αὐτοῖς τὸ φιλεῖν ποιεῖ καὶ συνεῖναι καὶ χαίρειν. Οὐκοῦν εἴ τις τἀγαθὰ τῶν ἄλλων ἐθέλοι καὶ φιλοίη μηδὲν ἧττον ἢ τὰ αὑτοῦ, τοῦτον ἀνάγκη καὶ συνεῖναι τῇ γνώμῃ καὶ συγχαίρειν τῶν ἀγα-
111 θῶν τοῖς ἄλλοις ἢ ἑαυτῷ τῶν αὐτοῦ. Διὰ ταῦτα τῷ φιλοθέῳ, τῆς μὲν φύσεως πρὸς τὰ θεῖα μὴ μετασκευασθείσης μηδ' ἀμειφθείσης, ὥστε αὐτῷ φύσει ταῦτα προσγενέσθαι τῆς δὲ θελήσεως καὶ τῆς ἀγάπης εἰς τὸν θεὸν ἀπὸ τῶν οἰκείων μετενεχθείσης, οὐδὲν κωλύει τὴν ἐπ' αὐτῷ χαρὰν ὁλόκληρον εἶναι, καὶ ὥσπερ εἰ μετεσκεύαστο· εἰ γὰρ καὶ τὴν φύσιν ἔτι φέρει τὴν ἀνθρωπίνην καὶ φύσει τοῖς θείοις ὡς οἰκείοις οὐ σύνεστιν, ἀλλὰ τήν γε θέλησιν ἐκεῖ πᾶσαν ἔχει, ἥ κυρία ἐστὶν οὕτως ἢ ἐκείνως χαίρειν, καὶ ταύτην ἐν ἡμῖν κρατεῖν ἢ ἐκεί-
112 νην τὴν ἡδονήν. Καὶ τοίνυν καθάπερ ὁ φιλῶν ἑαυτὸν χαίρει τὰ παρόντα αὐτῷ λογιζόμενος ἀγαθά, οὕτως οἱ τὸν θεὸν μόνον φιλοῦντες ἀπὸ τῶν ἀγαθῶν τῶν ἐκείνου τὴν ἡδονὴν ἑαυτοῖς συνάγουσι, καὶ τοῖς ἐκείνου πλουτοῦσι καὶ φιλοτιμοῦνται καὶ πρὸς τὴν ἐκείνου μεγαλαυχοῦσι δόξαν, καὶ στεφανοῦνται προσκυνουμένου καὶ θαυμαζο-
113 μένου σεμνύνονται. Καὶ οἱ μὲν ἑαυτοῖς ζῶντες, κἂν ἐπὶ τοῖς ἀληθέσι χαίρωσιν ἀγαθοῖς, ἄμικτον οὐκ ἂν καρποῖντο

---

110. ἀγαθῶν τοῖς ἄλλοις. Scil. μηδὲν ἧττον.
113. κἂν ἐπὶ τοῖς ἀληθέσι. Cod. καὶ ἐπί.

χαρὰν αὐτοὶ λέγονται χαίρειν· ᾧ γὰρ ἐκεῖνος χαίρει, τοῦτο καὶ αὐτὸς ποιεῖ τὴν χαράν. Χαίρει γὰρ ἑαυτῷ, τῶν δὲ τέρπειν δυναμένων τῶν αὐτῶν ὄντων ἀκόλουθον καὶ ἡδονὴν τὴν αὐτὴν εἶναι· καὶ τοῦτο οὐκ εἰκάσαι καὶ λογίσασθαι μόνον ἔστιν, ἀλλ' αὐτοῦ σαφῶς λέγοντος τοῦ σωτῆρος μαθεῖν ἀκριβῶς. Ἐπεὶ γὰρ τοὺς περὶ τῆς ἀγάπης 123
εἰσήγαγε νόμους καὶ παρῄνει τοῖς μαθηταῖς φυλάττειν αὐτῷ διὰ τέλους τὸ φίλτρον ἀκίνητον, „ταῦτα λελάληκα ὑμῖν φησιν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῖν πληρωθῇ.“ Διὰ τοῦτό φησι κελεύω φιλεῖν, ἵνα τῆς φιλίας πάντα τἀμὰ κοινὰ καὶ ὑμῶν ποιούσης, τὴν ἐπ' ἐμοὶ καὶ τοῖς ἐμοῖς τὴν αὐτὴν ἦτε χαίροντες ἡδονὴν ἐμοί· „ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν φησι κέκρυπται ἐν τῷ Χριστῷ ἐν θεῷ“, τὸν ἴσον τρόπον καὶ ἡ χαρὰ καὶ τἆλλα πάντα, καὶ οὐδὲν ἀνθρώπινον παρ' αὐτοῖς. Καὶ πάντα 124
λόγῳ βραχεῖ δηλῶν ὁ μακάριος Παῦλος, „οὔκ ἐστέ φησιν ἑαυτῶν, ἠγοράσθητε γὰρ τιμῆς“, ὁ δὲ πεπραμένος οὐ πρὸς ἑαυτὸν ἀλλὰ τὸν ἐωνημένον ὁρᾷ καὶ πρὸς τὴν ἐκείνου ζῇ γνώμην. Καίτοι τοῖς μὲν ἀνθρώποις ὁ δουλεύων τὸ σῶμα 125
δέδεται μόνον πρὸς τὸ τῷ δεσπότῃ δοκοῦν, τὴν δὲ γνώμην καὶ τὸν λογισμὸν ἐλεύθερός ἐστιν, ὅ τι ἂν βούλοιτο χρῆσθαι· ὃν δὲ ὁ Χριστὸς ἠγόρασεν, οὐκ ἔστιν ὅπως ἐστὶν ἑαυτοῦ, ἐπεὶ καὶ τὸν ἄνθρωπον ὁλόκληρον ἀνθρώπων μὲν οὐδεὶς ὠνήσατο, οὐδ' ἔστιν οὗ τιμήματος ψυχὴν λαβεῖν δυνατὸν ἀνθρωπίνην· ὅθεν οὐδεὶς ἔλυσεν ἄνθρωπον ἢ ἐδουλώσατο τοῦ σώματος περαιτέρω, ὁ δὲ σωτὴρ ἅπαντα τὸν ἄνθρωπον συγχάνει πριάμενος· ὅτε καὶ ἄνθρωποι μὲν ὑπὲρ 126
ἀνδραπόδου χρήματα καταβάλλουσι μόνου, ἐκεῖνος δὲ ἑαυτὸν εἰσήνεγκε καὶ τὸ σῶμα προὔδωκε καὶ τὴν ψυχὴν ὑπὲρ τῆς ἡμετέρας ἐλευθερίας, καὶ τὸ μὲν ἀποθανεῖν ἐποίησε, τὴν δὲ τὸ οἰκεῖον ἀφείλετο σῶμα, καὶ τὸ μὲν ὠδυνήθη

---

123. ἀπεθάνετε γάρ. Col. 3. 3. Ad sequentia conf. 1 Cor. 6, 20.
126. ἐκείνη δὲ ἠνιάσθη. God. ἐκείνη δή. — περίλυπός ἐστι. Matth. 26, 38.

ἀπολλύντες καὶ τούτων τὸν τῶν ψυχῶν δεσπότην ἀντιλαμβάνοντες.

118 Τί οὖν τῆς χαρᾶς ταύτης ἢ μεῖζον ἢ βεβαιότερον; Τοῖς μὲν γὰρ ἑαυτοῖς χαίρουσι τὸ χαρίεν ἀποβαλεῖν οὐ τῶν ἀδοκήτων· ἐν οὐδενὶ γὰρ ἐπὶ τοῦ παρόντος τἀγαθὸν ἀκίνητον, ὅθεν οὐ δι' ὧν ἀπολαύουσι, χαίρουσι μᾶλλον, ἢ δι' ὧν περὶ τοῦ πλούτου τρέμουσι, ἀνιῶνται· τοῖς δὲ καὶ ὁ θησαυρος τῶν ἀγαθῶν ἄσυλος καὶ ἡδονὴ λύπης ἄμικτος, καὶ φόβος οὐδεὶς ὑπὲρ ἑστῶτος καὶ βεβαίου πράγμα-

119 τος. Καὶ οἱ μὲν καὶ αὐτοὶ εἰκότως ὑποπτεύουσι τὴν χαρὰν, μὴ πρὸς ὑπερηφανίαν αὐτοὺς ἐξάγῃ, σφόδρα πρὸς ἑαυτοὺς βλέποντας, ὃ τὸ πλεῖστον ἂν τῆς ἡδονῆς ὑποτέμοι, τοῖς δὲ τοιοῦτον οὐδὲν ἐνοχλεῖ, ἑαυτῶν μὲν οὐκ ἐπιστρεφομένοις, ἐν τῷ θεῷ δὲ τὴν δύναμιν ποιουμένοις, ἐν ἐκείνῳ δὲ καυχωμένοις, καὶ ὅλως οὐχ ὅσον αὐτοὶ χωροῦσιν, οὐδ' ὥσπερ ἀνθρώπους χαίρειν εἰκὸς, ἀλλ' ὑπερφυᾶ τινα

120 καὶ θείαν καρποῦνται τὴν ἡδονήν. Οἰκίαν μὲν γὰρ οἰκίας εἴ τις ἀλλάξαιτο, καλλίονα φαυλοτέρας καὶ ἡδονῆς ἀντείληφεν ἡδονὴν, ἧς ἥδετο τὴν προτέραν οἰκῶν, ἣν εἰκὸς ἥδεσθαι τὸν ἀπολαύοντα τῆς δευτέρας· ὡς δὲ καὶ σώματος εἰ μηχανῇ τινι τύχοι καλλίονος, τὸ παρὸν ἀποβαλὼν καὶ τὴν ἐπ' αὐτῷ χαρὰν ἥμεψεν, καὶ τοσοῦτο χαίρει μᾶλλον,

121 ὅσον ἀμείνονι χρῆται σώματι. Οὐκοῦν ὅταν οὐ μόνον σῶμα καὶ οἰκίαν, ἀλλ' ἑαυτὸν ἀποῤῥίψας τὸν θεὸν κομίσηται, καὶ οὗτος αὐτῷ καὶ σώματος καὶ ψυχῆς καὶ οἰκείων καὶ φίλων καὶ πάντων ἀντικατασταθῇ, καὶ ἡδονὴν ἀνάγκη τὴν μὲν ὑπερβῆναι πᾶσαν τὴν τῶν ἀνθρώπων, τὴν δὲ λαβεῖν, ἣ πρὸς τὴν θείαν ἥρμοσται μακαριότητα καὶ

122 τοιᾶδε προσήκει μετασκευῇ. Διὰ τοῦτο καὶ τὴν τοῦ Χριστοῦ

---

120. *εἴ τις ἀλλάξαιτο.* **Cod.** *ἀνάξαιτο.* — *τὴν ἐπ' αὐτῷ χαράν.* **Cod.** *ὑπ' αὐτῷ.* **Sed conf. § 158.**

121. *οἰκείων καὶ φίλων.* **Cod.** *οἰκίων.*

122. *Διὰ τοῦτο καὶ τήν.* **Joh. 17, 13. 15, 11. 16, 24.** — *τοῦτο καὶ αὐτὸς ποιεῖ.* **Fort. leg.** *τούτῳ.*

χαρὰν αὐτοὶ λέγονται χαίρειν· ᾧ γὰρ ἐκεῖνος χαίρει, τοῦτο καὶ αὐτὸς ποιεῖ τὴν χαράν. Χαίρει γὰρ ἑαυτῷ, τῶν δὲ τέρπειν δυναμένων τῶν αὐτῶν ὄντων ἀκόλουθον καὶ ἡδονὴν τὴν αὐτὴν εἶναι· καὶ τοῦτο οὐκ εἰκάσαι καὶ λογίσασθαι μόνον ἔστιν, ἀλλ' αὐτοῦ σαφῶς λέγοντος τοῦ σωτῆρος μαθεῖν ἀκριβῶς. Ἐπεὶ γὰρ τοὺς περὶ τῆς ἀγάπης 123
εἰσήγαγε νόμους καὶ παρῄνει τοῖς μαθηταῖς φυλάττειν αὐτῷ διὰ τέλους τὸ φίλτρον ἀκίνητον, „ταῦτα λελάληκα ὑμῖν φησιν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῖν πληρωθῇ.“ Διὰ τοῦτό φησι κελεύω φιλεῖν, ἵνα τῆς φιλίας πάντα τἀμὰ κοινὰ καὶ ὑμῶν ποιούσης, τὴν ἐπ' ἐμοὶ καὶ τοῖς ἐμοῖς τὴν αὐτὴν ἦτε χαίροντες ἡδονὴν ἐμοί· „ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν φησι κέκρυπται ἐν τῷ Χριστῷ ἐν θεῷ“, τὸν ἴσον τρόπον καὶ ἡ χαρὰ καὶ τἆλλα πάντα, καὶ οὐδὲν ἀνθρώπινον παρ' αὐτοῖς. Καὶ πάντα 124
λόγῳ βραχεῖ δηλῶν ὁ μακάριος Παῦλος, „οὔκ ἐστέ φησιν ἑαυτῶν, ἠγοράσθητε γὰρ τιμῆς“, ὁ δὲ πεπραμένος οὐ πρὸς ἑαυτὸν ἀλλὰ τὸν ἐωνημένον ὁρᾷ καὶ πρὸς τὴν ἐκείνου ζῇ γνώμην. Καίτοι τοῖς μὲν ἀνθρώποις ὁ δουλεύων τὸ σῶμα 125
δέδεται μόνον πρὸς τὸ τῷ δεσπότῃ δοκοῦν, τὴν δὲ γνώμην καὶ τὸν λογισμὸν ἐλεύθερός ἐστιν, ὅ τι ἂν βούλοιτο χρῆσθαι· ὃν δὲ ὁ Χριστὸς ἠγόρασεν, οὐκ ἔστιν ὅπως ἐστὶν ἑαυτοῦ, ἐπεὶ καὶ τὸν ἄνθρωπον ὁλόκληρον ἀνθρώπων μὲν οὐδεὶς ὠνήσατο, οὐδ' ἔστιν οὗ τιμήματος ψυχὴν λαβεῖν δυνατὸν ἀνθρωπίνην· ὅθεν οὐδεὶς ἔλυσεν ἄνθρωπον ἢ ἐδουλώσατο τοῦ σώματος περαιτέρω, ὁ δὲ σωτὴρ ἅπαντα τὸν ἄνθρωπον συγχάνει πριάμενος· ὅτε καὶ ἄνθρωποι μὲν ὑπὲρ 126
ἀνδραπόδου χρήματα καταβάλλουσι μόνον, ἐκεῖνος δὲ ἑαυτὸν εἰσήνεγκε καὶ τὸ σῶμα προὔδωκε καὶ τὴν ψυχὴν ὑπὲρ τῆς ἡμετέρας ἐλευθερίας, καὶ τὸ μὲν ἀποθανεῖν ἐποίησε, τὴν δὲ τὸ οἰκεῖον ἀφείλετο σῶμα, καὶ τὸ μὲν ὠδυνήθη

---

123. *ἀπεθάνετε γάρ.* Col. 3. 3. **Ad sequentia conf. 1 Cor. 6, 20.**
126. *ἐκείνη δὲ ἠνιάσθη.* **God.** *ἐκείνη δή.* — *περίλυπός ἐστι.* **Matth. 26, 38.**

πληττόμενον, ἐκείνη δὲ ἡνιάσθη οὐ σφαττομένου τοῦ σώματος μόνον, ἀλλὰ καὶ πρὸ τῆς πληγῆς „περίλυπός ἐστί φησιν ἡ
127 ψυχή μου ἕως θανάτου.“ Καὶ οὕτως ὅλον δοὺς ἑαυτὸν ὅλον ὠνεῖται τὸν ἄνθρωπον, οὐκοῦν καὶ τὴν θέλησιν ἐπρίατο καὶ μάλιστα ταύτην. Τὰ μὲν γὰρ ἄλλα δεσπότης ἦν καὶ τῆς φύσεως ἡμῶν ἁπάσης ἐκράτει· ᾧ δὲ τὴν δουλείαν ἐφεύγομεν, ἡ θέλησις ἦν, καὶ ἵνα ταύτην ἕλοι, πάντα εἰργάσατο.
128 Διὰ τοῦτο γὰρ ὅτι γνώμην ἐζήτει, βίαιον οὐδὲν ἐποίησεν οὐδ' ἥρπασεν, ἀλλ' ἠγόρασεν· ὅθεν τῶν πεπραμένων οὐδεὶς εἰς ἑαυτὸν χρώμενος τῇ θελήσει τὰ δίκαια ποιήσει, ἀλλὰ τὸν ἐωνημένον ἀδικήσει τοῦ κτήματος ἀποστερῶν· χρῶτο δ' ἄν τις πρὸς ἑαυτὸν τῇ θελήσει ἑαυτὸν θέλων καὶ τοῖς ἑαυτοῦ χαίρων.

129 Λείπεται δὴ μηδένα τῶν χρηστῶν καὶ δικαίων ἑαυτὸν φιλεῖν ἀλλὰ τὸν ἀγοράσαντα μόνον, ἐπεὶ καὶ πᾶσα ἀνάγκη, τοιούτους εἶναι τῶν ἀγορασθέντων ἑνίους εἰ καὶ μὴ πάντας· μάτην γὰρ γενέσθαι τὴν ὠνὴν ἐκείνην τὴν φρικώδη, πῶς εὔλογον; φιλοῦντας δὲ ἐκεῖνον μόνον ἐπόμενον ἂν εἴη, καθαρὰν μὲν ἀνίας αὐτοὺς ἁπάσης ἥδεσθαι ἡδονὴν, ὅτι οὐδὲν παρὰ τὰς αὐτῶν ὁ φιλούμενος πράττει, μεγίστην δὲ καὶ ὑπερφυᾶ καὶ θείαν, ὅτι τε ὁλόκληρον ἐνταῦθα κενοῦσι τὴν δύναμιν τῆς χαρᾶς, καὶ ὅτι τὸ τέρπον αὐτοὺς πᾶσαν
130 ὑπερβαίνει χαρίτων ὑπερβολήν. Καὶ ἄλλως δὲ καθάπερ ἀνάγκη τὸν ἀνθρώποις δουλεύοντα λυπεῖσθαι, οὕτως ἀνάγκη τὸν τῷ Χριστῷ δουλεύοντα χαίρειν. Οὐ γὰρ ἔτι τὴν αὐτοῦ, ἀλλὰ τὴν τοῦ πριαμένου χωρῶν ὁ μὲν διὰ πόνων ἔρχεται καὶ ὀδυνῶν τῷ καὶ λύπης καὶ πόνων ὑπευθύνῳ ἀκολουθῶν, ἐκεῖνος δὲ πῶς ἀνιασθήσεται τῆς ἀληθινῆς χαρᾶς ἡγουμένης! Ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν
131 ὑπὲρ ἀνδραπόδου χρήματα οὐ τοῦτο ζητῶν κατέβαλεν, ἵν' εὖ ποιήσῃ τὸν πεπραμένον, ἀλλ' ἵν' αὐτὸς ἐκεῖθεν εὖ πάθῃ

---

129. παρὰ τὰς αὐτῶν. Fort. leg. τά, aut excidit γνώμας.
130. τὴν τοῦ πριαμένου scil. χάριν. Cod. τόν. Et paullo infra: τῷ καὶ λύπης. Cod. h. τόν.

καίτοι τῶν ἐκείνου κερδάνη πόνων, ὅθεν ὁ δουλεύων ὡς ἂν εἰς τὴν τῶν κεκτημένων ἀναλούμενος χρείαν καὶ δι' ὧν αὐτὸς ταλαιπωρεῖται, συνάγων ἐκείνοις ἡδονὰς, διηνεκέσι σύνεστι λύπαις. Ἐνταῦθα δὲ τοὐναντίον· πάντα γὰρ 132
πρὸς τὴν τῶν δούλων εὐδοκίμησιν εἴργασται, καὶ τὸ λύτρον ἔδωκεν, οὐχ ἵνα αὐτὸς ἀπολαύῃ τι τῶν λυθέντων, ἀλλ' ἵνα αὐτῶν τἀκείνου γένηται, καὶ κέρδος ὁ δεσπότης ᾖ καὶ οἱ τοῦ δεσπότου πόνοι τοῖς δούλοις, καὶ τὸν ἐωνημένον ὅλον αὐτὸς ὁ πεπραμένος ἔχῃ λαβών. Διὰ ταῦτα 133
τοὺς μὴ πρὸς ταύτην ἀποπηδήσαντας τὴν δουλείαν, ἀλλὰ πρὸ πάσης ἐλευθερίας τἀκείνου ποιησαμένους δεσμιὰ, χαίρειν ἀνάγκη, πλοῦτον πενίας καὶ βασιλείαν δεσμωτηρίου καὶ δόξαν τὴν ἀνωτάτω τῆς ἐσχάτης ἀτιμίας ἀλλαξαμένους· ὅπερ γὰρ τῶν ἀνθρώπων τοῖς δεσπόταις ἔξεστι ποιεῖν εἰς τοὺς δούλους παρὰ τῶν νόμων, τοῦτο τοῖς δούλοις ἐφεῖται πρὸς τὸν κοινὸν δεσπότην διὰ τὴν τοῦ δεσπότου φιλανθρωπίαν. Ἐκείνους μὲν γὰρ τῶν δούλων καὶ τῶν ὄντων 134
τοῖς δούλοις ὁ νόμος κυρίους καθίστησιν, ἂν μὴ πρόωνται τὴν δεσποτείαν μηδ' ἀφῶσιν αὐτοὺς τῆς δουλείας, οὗτοι δὲ τὸν ἑαυτῶν δεσπότην ἔχουσι καὶ τῶν ἐκείνου κληρονομοῦσιν, ἂν τὸν ζυγὸν ἐκείνου στέρξωσι καὶ τὴν ὠνὴν ἐνδεσθῶσι. Καὶ τοῦτό ἐστιν ὃ Παῦλος ἐκέλευσεν, „χαίρετε ἐν 135
κυρίῳ“ λέγων, τὸν ἀγοράσαντα διὰ τοῦ κυρίου δηλῶν, καὶ ὁ σωτὴρ ἐναργέστερον τὸ τῆς χαρᾶς αἴτιον σημαίνων ἡμῖν, τὸν τῆς χαρᾶς αὐτῷ κοινωνήσοντα δοῦλον ἀγαθὸν ὀνομάζει καὶ κύριον ἑαυτόν, „εἴσελθε λέγων ἀγαθὲ δοῦλε εἰς τὴν χαρὰν τοῦ κυρίου σου“, ὅτι δοῦλος ἔμεινας καὶ τὸ τῆς ὠνῆς οὐ διέῤῥηξας γραμμαῖον, αὐτὴν κομίζου τὴν τοῦ κτησαμένου χαράν. Ἐστὶ γὰρ ἡ αὐτὴ χαρὰ οὐ μόνον 136

---

133. *πρὸς ταύτην ἀποπηδήσαντας.* „Qui non aversati sunt hanc servitutem.“ — *ἀτιμίας ἀλλαξαμένους.* Cod. *ἀλλαξαμένου.*

134. *τὴν ὠνὴν ἐνδεσθῶσι.* Fort. leg. *ἐνδεθῶσι*: „Si jugum ejus amant et redemtione sese obstrictos habent.“

135. Phil. 4, 4. Matth. 25, 21. 23. — *κτησαμένου.* Cod. *κτισαμένου.*

διὰ τὸ χαρίεν ταὐτὸν ὄν, ἀλλ' ὅτι καὶ τῆς εὐγνωμοσύνης ὁ αὐτὸς τρόπος· καθάπερ γὰρ ἐκεῖνος οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ τοῖς δούλοις ἔζησε καὶ ἀπέθανε καὶ γεγέννηται τὴν ἀρχὴν, καὶ εἰς ἑαυτὸν ἐπανελθὼν καὶ τὸν θρόνον ἔχων τὸν πατρικὸν, ἡμῖν ἐκεῖ κάθηται καὶ παράκλητός ἐστι πρὸς αὐτὸν ὑπὲρ ἡμῶν δι' αἰῶνος, οὕτω καὶ τῶν δούλων, οἷς ὁ δεσπότης πρὸ τῶν ψυχῶν ἐγένετο, ἑαυτῶν οὐκ ἐπι-
137 στρεφόμενοι μόνον φιλοῦσιν ἐκεῖνον. Τοιοῦτος ἦν Ἰωάννης, καὶ διὰ τοῦτο παρενδοκιμηθεὶς ἐκείνου φανέντος τοσοῦτον ἀπεῖχε δυσχεραίνειν, ὥστε αὐτὸς ἦν ὁ τοῖς ἀγνοοῦσι αὐτῶν κηρύττων καὶ προδεικνύς· καὶ τῆς γλώττης ἐκείνης, ἀφ' ἧς συνέβαινεν αὐτῷ, τὴν ἐλάττω φέρεσθαι δόξαν, οὐδὲν ἧδιον ἦν αὐτῷ· καὶ ἠξίου τὸν μὲν εἰς ἑαυτὸν ἀναρτήσασθαι τὸ θέατρον καὶ καταδημαγωγῆσαι τὸ γένος ἅπαν, καὶ πάντας αὐτῷ προσέχειν τὸν νοῦν, καθάπερ τῷ νυμφίῳ τὴν νύμφην, αὐτὸς δὲ ἀγαπᾶν, εἰ παρεστὼς ἀκούοι λέγοντος καὶ τοῦτο τῆς σπουδῆς ἀπόναιτο πάσης, τὴν τοῦ
138 φιλουμένου φωνήν. Παῦλος δὲ τἀκείνου ζητῶν οὐ περιεῖδεν ἑαυτὸν μόνον, ἀλλ' ἤδη καὶ προὔδωκε· καὶ γὰρ εἰς γέενναν ἐνέβαλε τό γ' ἐπ' αὐτῷ, καὶ γὰρ ηὔξατο τὸ πάθος καὶ ἦν ὥσπερ αἴνιγμα· ὅτι γὰρ σφοδρῶς ἐφίλησεν αὐτὸν, ὃν ἐφίλησεν, ἐπεθύμει ζημιωθῆναι, καὶ ἔοικεν, ὡς οὐ γεέννης μόνον σφοδρότερον ἀνέφλεγεν αὐτὸν ὁ ἔρως ἐκεῖνος, ἀλλὰ καὶ αὐτῆς τῆς ἐν τῷ συνεῖναι τῷ φιλουμένῳ
139 χαρᾶς ἐπικρατέστερον εἶχε. Καθάπερ γὰρ ταύτης καταφρονεῖν ἔπειθεν, οὕτως ἐκείνην ῥαδίως περιορᾷν, καίτοι σαφῆ πεῖραν ἤδη τοῦ κάλλους αὐτοῦ λαβόντα καὶ γεγευμένον, ἀλλ' ὅτι τὸ μὲν ἐκείνῳ συνεῖναι καὶ συζῆν καὶ συμβασιλεύειν πρὸς αὐτοῦ καὶ τῆς εὐδοκιμήσεως ἦν τῆς αὐτοῦ, ὁ δὲ οὐκ ἐζήτει τὰ ἑαυτοῦ ὑπὲρ τῆς ἐκείνου δόξης,
140 καὶ τοῦτο προέσθαι πρόθυμος ἦν. Οὐκοῦν καὶ ἐπιθυμῶν οὐ δι' ἑαυτὸν ἐπεθύμησεν ἀλλὰ δι' ἐκεῖνον, ὑπὲρ οὗ καὶ

---

137. Joh. 3, 29. 30. — *τοῖς ἀγνοοῦσι αὐτῶν.* Fort. leg. *αὐτόν.*
138. *γεέννης μόνον σφοδρ.* Cod. *γέεννα.*

μενεῖτε ἐν τῇ ἀγάπῃ μου.“ Ταύτης δὲ τῆς ἀγάπης ἔργον 148
ἡ μακαρία ζωή· τὴν γὰρ θέλησιν πανταχόθεν συνάγουσα
καὶ τῶν ἄλλων ἀπάγουσα πάντων καὶ αὐτοῦ τοῦ θέλον-
τος τῷ Χριστῷ συνίστησι μόνῳ· τῇ θελήσει δὲ τὰ ἡμέτερα
πάντα ἀκολουθεῖ καὶ ὅποι φέρει χωροῦσι, καὶ σώματος ὁρ-
μὴ καὶ λογισμοῦ κίνησις καὶ πᾶσα πρᾶξις καὶ πᾶν ὁτιοῦν
ἀνθρώπινον· καὶ ὅλως ἡ θέλησις τὸ καθ' ἡμᾶς ἄγει καὶ
φέρει, κἂν ἐκείνη κατασχεθῇ που, πάντα ἐκεῖ δέδεται καὶ
ταύτης κρατήσας ὁλόκληρον ἔχει τὸν νοῦν. Οὐκοῦν οἷς 149
ἡ γνώμη τοῦ Χριστοῦ κατ' ἄκρας ἐάλω καὶ μόνῳ πρόσ-
κειται, καὶ πάντα ὅσα βούλονται καὶ ὧν ἐρῶσι καὶ ἃ
ζητοῦσιν, ἐκεῖνός ἐστι, τούτοις ὅλον τὸ εἶναι καὶ ἡ ζωὴ
παρ' αὐτῷ, ἐπεὶ καὶ τὴν θέλησιν αὐτὴν οὐκ ἔστι ζῆν καὶ
ἐνεργὸν εἶναι μὴ ἐν τῷ Χριστῷ μένουσαν, ὅτι πᾶν ἀγαθὸν
ἐκεῖ, καθάπερ ὀφθαλμὸς τὰ αὐτοῦ ποιεῖν οὐκ ἂν ἔχῃ μὴ
τῷ φωτὶ χρώμενος. Ἐκείνῳ τε γὰρ μόνον ἐργάζεται τὴν 150
ὄψιν τὸ φῶς, ἥ τε θέλησις πρὸς ὃ δύναται ἐνεργεῖν, μόνον
ἐστὶ τἀγαθόν· ὅθεν ἐπεὶ ταμίας τῶν ἀγαθῶν ἁπάντων
ἐκεῖνος, εἰ μὴ πᾶσαν τὴν γνώμην ἐν αὐτῷ φέροντες θήσο-
μεν, ἀλλά τι τῆς θελήσεως ἔξω τοῦ θησαυροῦ τούτου πέ-
σοι, ἀργόν ἐστι καὶ νεκρόν. „Ἐὰν μή τις μείνῃ γάρ φη- 151
σιν ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ
συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσι καὶ καίεται“·
εἰ δὲ καὶ τὸν Χριστὸν μιμήσασθαι καὶ ζῆν κατ'
ἐκεῖνον, ἐν Χριστῷ ζῆν ἐστι, καὶ τοῦτο τῆς γνώ-
μης ἔργον, ὅταν τοῖς τοῦ θεοῦ βουλήμασιν ὑπα-
κούσῃ. Καθάπερ ἐκεῖνος τῶν ἑαυτοῦ θελήσεων ὑπέτρεξε τῇ 152
θείᾳ τὴν ἀνθρωπίνην, καὶ ἵνα τοῦτο διδάξαι καὶ τῆς ὀρθῆς
ζώης παράδειγμα ἡμῖν καταλίποι, τὸν ὑπὲρ τοῦ κόσμου θάνα-
τον ὅτε μὲν ἀποθανεῖν ἐδέησεν, οὐ παρῃτήσατο, πρὶν δὲ ἦκειν
τὸν καιρὸν ἀπηύξατο, δεικνὺς ὡς οὐχ ἑαυτῷ ἤρεσεν, ἐν οἷς ἀπέ-

---

149. *οὐκ ἂν ἔχῃ μέν.* **Fort.** *ἔχοι.*
151. *Ἐὰν μή τις.* **Joh. 15, 7.**
152. *τοῦτο διδάξαι.* **Cod.** *διδάξῃ.* — *ὑπήκοος γεν.* **Phil. 2, 18.**

τέκνα θεῦ γενέσθαι", τῶν τέκνων δὲ ἡ τελεία ἀγάπη, ἧς ἅπας ἀπελήλαται φόβος. Οὔτε γὰρ μισθῶν ἀποτυχίαν οὔτε πληγὰς ἔστι δεδιέναι τὸν ἐκείνως ἐρῶντα· τὸ μὲν γὰρ δούλων, ἐκεῖνο δὲ μισθωτῶν· τὸ δ' οὕτω καθαρῶς φιλεῖν
145 μόνων γίνεται τῶν υἱῶν. Καὶ οὕτω τὴν ἀγάπην τὴν ἀληθινὴν ἡ χάρις ἐντίθησι ταῖς ψυχαῖς τῶν μεμυημένων· ὅ τι μὲν εἰς αὐτοὺς δρῶσα καὶ ἥντινα παρεχομένη πεῖραν, εἰδεῖεν ἂν οἱ μαθόντες· ὡς δ' ἔνεστιν ὁλοσχερῶς εἰπεῖν, τῶν θείων ἀγαθῶν αἴσθησιν ἐνιεῖσα, καὶ τῷ γεῦσαι μεγάλων περὶ μειζόνων ἐλπίζουσα, καὶ βεβαίαν ἐντιθεῖσα πίστιν
146 ἀπὸ τῶν ἤδη παρόντων περὶ τῶν μήπω φαινομένων. Τὰ δὲ παρ' ἡμῶν εἰς διασῶσαι τὴν ἀγάπην· οὐ γὰρ ἀρκεῖ τὸ φιλῆσαι μόνον καὶ δέξασθαι τὸ πάθος, ἀλλὰ δεῖ καὶ συνταρῆσαι καὶ τῷ πυρὶ προσθεῖναι τὴν ὕλην ὥστε κατασχεῖν. Τοῦτο γάρ ἐστι τὸ μένειν ἐν τῇ ἀγάπῃ, ἐν ᾧ πᾶσα μακαριότης, τὸ μένειν μὲν ἐν τῷ θεῷ, μένοντα δὲ ἔχειν αὐτόν· „ὁ γὰρ μένων φησὶν ἐν τῇ ἀπάπῃ ἐν τῷ θεῷ μένει καὶ καὶ ὁ θεὸς ἐν αὐτῷ"· τοῦτο δὲ γίνεται, καὶ πεπηγυῖαν ἐν τῇ γνώμῃ τὴν ἀγάπην ἔχομεν, ἐπειδὰν διὰ τῶν ἐντολῶν ἀφικώμεθα καὶ τοὺς τοῦ φιλουμένου σώσωμεν νόμους.
147 Ἀπὸ μὲν γὰρ τῶν ἐνεργειῶν ἡ ψυχὴ διατίθεται πρὸς ταύτην ἢ ἐκείνην τὴν ἕξιν, ὅπως ἂν ἔχωσιν ἐκεῖναι χρηστότητος ἢ πονηρίας, ἐπεὶ καὶ τῶν τεχνῶν ἐκείνας κτώμεθα καὶ μανθάνομεν, ὧν ἂν ταῖς ἐνεργείαις συνεθισθῶμεν. Οἱ δὲ τοῦ θεοῦ νόμοι περὶ τῶν ἐνεργειῶν κείμενοι τῶν ἀνθρωπίνων καὶ ταύτας ὁρίζοντες καὶ πρὸς ἐκεῖνον τάττοντες μόνον τὴν ἀκόλουθον τοῖς κατορθοῦσιν ἐντίθεασιν ἕξιν, ἐστὶ τὸ βούλεσθαι τὰ δοκοῦντα τῷ νομοθέτῃ καὶ μόνῳ πᾶσαν ὑποτάττειν τὴν γνώμην καὶ πλὴν ἐκείνου θέλειν οὐδέν, ὅπερ ἐστὶ μόνον ἀκριβῶς εἰδέναι φιλεῖν· καὶ διὰ τοῦτό φησιν ὁ σωτὴρ, „ἐὰν τὰς ἐντολάς μου τηρήσητε,

---

146. *ὁ γὰρ μένων.* 1 Joh. 4, 16.

147. *ἐστὶ τὸ βούλεσθαι.* Fort. leg. *τοῦτ' ἐστὶ* vel *ἢ ἐστι* vel *ὥστε βούλεσθαι.* — *ἐὰν τὰς ἐντολάς.* Joh. 15, 10.

γωγούσης· ὃ δεικνὺς ὁ μακάριος Πέτρος, „εἰς ὃν ἄρτι μὴ ὁρῶντές φησι, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ."

157 Ἐν ταύτῃ δὲ τῇ ἀγάπῃ καὶ τῇ χαρᾷ ἡ μακαρία ἐστὶ ζωή· αὕτη ἡ ζωὴ τὰ μὲν κρύπτεται κατὰ τὸν Παύλου λόγον, „κέκρυπται γάρ φησιν ἡ ζωὴ ἡμῶν", τὰ δὲ φαίνεται καὶ ᾗ φησιν ὁ κύριος, „τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει, οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ
158 πνεύματος." Ἃ μὲν γὰρ εἰς αὐτὴν τὴν γεννῶσαν καὶ πλάττουσαν ἥκει χάριν, ὅ τι τέ ἐστιν αὐτὴ καὶ ὃν ἀναπλάττει τρόπον, ἀφανὴς ἐστιν ἡ ζωὴ, φαίνεται δὲ τῶν μεριστῶν ζώντων, ὅπερ ἐστὶν ὁ πρὸς τὸν θεὸν ἀπόῤῥητος ἔρως
159 καὶ ἡ ἐπ' αὐτῷ χαρά. Ταῦτα γὰρ αὐτά τε δῆλα καθέστηκε καὶ τὴν ἀφανῆ μηνύει χάριν, πρῶτον μὲν ὅτι καρπὸς ταῦτα τῆς χάριτος — „ὁ καρπὸς γάρ φησι τοῦ πνεύματος ἀγάπη, χαρὰ", ἀπὸ δὲ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται, — ἔπειθ' ὅτι πνεῦμα μὲν υἱοθεσίας ἡ χάρις, ἡ δὲ ἀγάπη τὴν συγγένειαν ταύτην αὐτοῖς μαρτυρεῖ, καὶ ὡς εἶεν υἱοὶ θεοῦ μηδὲν ἔχοντες μισθαρνικὸν μηδὲ δουλι-
160 κόν. Τοῦτον δὲ τὸν τρόπον καὶ Σολομὼν εὗρε τὴν μητέρα τοῦ ζῶντος παιδίου, καὶ σημεῖον ἐνόμισεν ἱκανὸν παρασχεῖν αὐτὴν τοῦ τεκεῖν τὸ σφόδρα φιλεῖν· ὅθεν οὐδὲν εἴη ἀπεικὸς, καὶ τοὺς υἱοὺς τοῦ ζῶντος θεοῦ τῷ τεκμηρίῳ
161 τούτῳ μανθάνειν. Καθάπερ ἐκείνην, ὡς οὐδὲν εἶχεν κοινὸν πρὸς τὸ τεθνηκὸς παιδίον, ἡ περὶ τὸ ζῶν φιλοστοργία καὶ πρόνοια σαφῶς ἐδήλωσεν, οὕτω καὶ τούτοις ἡ περὶ τὸν ζῶντα θεὸν αἰδὼς καὶ τὸ φίλτρον ἀπόδειξίς ἐστιν ἐναργὴς, ὅτι οὐ νεκρῶν ἐγένετο πατέρων, οὓς οὐδὲ θάπτειν τοὺς οὕτω ζῶντας συνεχώρησεν ὁ σωτήρ· „ἄφες γάρ φησι τοὺς

---

157. *κέκρυπται.* Col. 3, 3. — *τὸ πνεῦμα ὅπου.* Joh. 3, 8.
159. *ὁ καρπὸς — τ. πν.* Gal. 5, 22.
160. *Σολομών.* 1 Reg. 3, 16. sqq. — *οὐδὲν εἴη ἀπεικός.* Cod. vitiose *εἰ πεικός.*

σκεν, ἀλλ', ὅ φησιν ὁ Παῦλος, ὑπήκοος γενόμενος ἐπὶ τὸν σταυρὸν ἦλθεν, ὡς ἂν οὐ θέλημα ἔχων ἓν ἢ ἐκ δυοῖν ἕν, ἀλλὰ δύο θεληματων ὁμολογίαν· οὕτω φαίνεται διὰ πάντων ἐν τῇ τελειότητι τῆς θελήσεως
153 συνεστάναι τὴν μακαρίαν ζωήν. Λέγω δὲ ἐν τῷ παρόντι. Δυοῖν γὰρ ὄντοιν ἐν οἷς ὁ ἄνθρωπος, τοῦ νοῦ καὶ τῆς γνώμης, ἀνάγκη μὲν κατ' ἄμφω ταῦτα συνελθεῖν τῷ θεῷ καὶ συναφθῆναι τὸν ἐξ ὁλοκλήρου μέλλοντα μακάριον εἶναι, τῷ μὲν νῷ καθαρῶς αὐτὸν θεωροῦντα, τῇ
154 γνώμῃ δὲ τελείως φιλοῦντα. Συμβαίνει δὲ οὐδενὶ τῶν ἐν φθαρτῷ σώματι ζώντων δι' ἑκατέρων εὐδαιμονεῖν, ἀλλὰ τοιούτους ἀνθρώπους μόνος ὁ φθορᾶς ἀπηλλαγμένος δέξεται βίος, ἐπὶ δὲ τοῦ παρόντος τῆς μὲν θελήσεως ἕνεκα τέλειοι τὰ πρὸς τὸν θεὸν οἱ μακάριοι, τῆς δὲ κατὰ νοῦν ἐνεργείας οὐκέτι· ἀγάπην μὲν παρ' αὐτοῖς τελείαν εὑρήσεις, θεοῦ δὲ θεωρίαν καθα-
155 ρὰν οὐδαμῶς. Εἰ γὰρ καὶ πάρεστιν αὐτοῖς ἔτι καὶ μετὰ σώματος ζῶσι τὸ μέλλον, καὶ πεῖραν ἔσχον ἤδη τῶν ἄθλων, ἀλλ' οὐ συνεχῶς οὐδὲ διηνεκῶς οὐδὲ τελείως, τοῦ βίου τούτου μὴ συγχωροῦντος, καὶ διὰ τοῦτο „τῇ ἐλπίδι χαίρομέν φησι Παῦλος, καὶ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους, καὶ ἐκ μέρους γινώσκομεν“· καίτοι τὸν Χριστὸν
156 εἶδεν, ἀλλ' οὐχὶ ἑκάστοτε τῇ θεωρίᾳ ταύτῃ συνῆν. Τὸ γὰρ ἀεὶ τοῦτο τὸ μέλλον ὄψεται μόνον, καὶ τοῦτο αὐτὸς ἔδειξεν, ἐπεὶ περὶ τῆς παρουσίας ἐκείνης διεξῆλθεν ἐπαγαγὼν, καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα· ὅθεν εἴ τις ἐν Χριστῷ μετὰ τοῦ σώματος ζῇ καὶ τῆς αἰωνίου ζωῆς, ἣν Παῦλος ἐκέλευσεν, ἐνθένδε ἠδυνήθη λαβέσθαι, ἐν τῇ γνώμῃ ταύτην ἔχει δι' ἀγάπης ἐπὶ τὴν χαρὰν ἀφικνούμενος τὴν ἀπόῤῥητον, τῆς μὲν τοῦ νοῦ καθαρᾶς ὄψεως εἰς τὸ μέλλον τεμιευομένης αὐτῷ, τῆς δὲ πίστεως ἐπὶ τὴν ἀγάπην χειρα-

---

153. *Λέγω δὲ ἐν τῷ παρόντι.* Fort. post *δέ* interponendum *τήν*.
155. 2 Cor. 5, 7. 13, 9.
156. *εἰς ὃν ἄρτι.* 1 Petr. 1, 8.

ζωῇ μένειν καὶ τὴν ζωὴν ἐν αὐτῷ· ἐγὼ γάρ εἰμί φησιν η ζωή.“ Εἰ δὲ καὶ ζωή ἐστιν ἡ κινοῦσα τὰ ζῶντα 166 δύναμις, τί τὸ κινοῦν τοὺς ὡς ἀληθῶς ζῶντας ἀνθρώπους, ὃν θεός ἐστιν ὁ θεὸς, ὃς οὐ νεκρῶν ἀλλὰ ζώντων ἐστὶ θεὸς, οὐδὲν ἂν εὕροις ἢ τὴν ἀγάπην αὐτὴν, ἣ μὴ μόνον αὐτοὺς ἄγει καὶ φέρει, ἀλλὰ καὶ ἑαυτῶν ἐξάγει ῥαδίως, καὶ οὕτω ζωῆς μᾶλλον ἀπάσης εἰς αὐτοὺς δύναται δρᾶν, ὥστε καὶ ζωῆς ἐπικρατέστερον ἔχει! Καὶ γὰρ ζωῆς 167 πείθει καταφρονεῖν, οὐ τῆς ῥεούσης μόνον, ἀλλ' ἤδη καὶ τῆς ἑστώσης· τί οὖν δικαιότερον ἂν τῆς ἀγάπης καλοῖτο ζωή; χωρὶς δὲ τούτων ὃ πάντων περιῤῥημένων μόνον περιλειφθὲν τοὺς ζῶντας ἀποθανεῖν οὐκ ἐᾷ, τοῦτό ἐστιν ἡ ζωὴ, τοιοῦτον δὲ ἡ ἀγάπη. Πάντων γὰρ τῶν ἄλλων ἐπὶ 168 τοῦ μέλλοντος αἰῶνος καταργουμένων, ἧ φησι Παῦλος, ἡ ἀγάπη μένουσα μόνον πρὸς τὸν βίον ἐκεῖνον ἀρκεῖ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα αἰώνιος. Ἀμήν.

---

166. *τί τὸ κινοῦν — οὐδὲν ἂν εὕροις*: **Quid illud sit (si quaeras) nihil reperias etc.**

168. **1 Cor. 13, 13.**

νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς“· ἐπεὶ οὐδὲ κατὰ τοῦτο μόνον ἀγάπης τὴν υἱότητα βεβαιοῦσιν ἑαυτοῖς, ὅτι ὡς πατρὶ τῷ θεῷ προσκεινται καὶ φιλοῦσιν, ἀλλ᾽ ὅτι καὶ ἐοίκασι διὰ τὴν ἀγάπην αὐτῷ, ὅτι τε οἱ μὲν ἀγαπητικοί εἰσιν, ὁ δὲ θεὸς ἀγάπη ἐστὶ, καὶ ἀγάπης ἕνεκα ζῶσιν.
162 Οἱ γὰρ ἀληθῶς ζῶντες οὗτοί εἰσι, παρ᾽ οἷς τὸ καλὸν τοῦτο τρέφεται πάθος, καθάπερ ὧν ἄπεστιν ἐκεῖνο, πάντα νεκρά. Διὰ τοῦτο γὰρ ὅτι υἱοὶ, δι᾽ ὧν ποιοῦσι, τὸν πατέρα τιμῶσι, καὶ ζῶντες αὐτοὶ ζῶντα κηρύττουσι τὸν θεὸν, παρ᾽ οὗ γεγέννηνται, καὶ τὴν ἀνεκλάλητον γέννησιν, ἣν ἐκεῖθεν ἐγεννήθησαν, τῇ καινότητι τῆς ζωῆς, ἐν ᾗ κατὰ τὸν Παύλου λόγον περιπατοῦσι, πιστεύ-
163 μενοι τὸν ἐν οὐρανοῖς πατέρα δοξάζουσιν. Οὕτως ἀποῤῥήτως καὶ φιλανθρώπως γεννῶνται, καὶ ὡς ἔοικε διὰ τοῦτο θεὸς οὐ νεκρῶν ἀλλὰ ζώντων ἐστὶν ὁ θεὸς, ὅτι παρ᾽ ἐκείνοις τὴν οἰκείαν εὑρίσκει δόξαν· ὅθεν καὶ πρὸς τοὺς πονηροὺς ἔλεγεν, εἰ θεός εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; Τοῦτο δηλῶν ὁ Δαβὶδ, οὐχὶ οἱ νεκροὶ αἰνέσουσί σε κύριέ φησιν, ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες.

164 Τοιαύτη ἡ ἐν Χριστῷ ζωὴ, καὶ οὕτω κρύπτεται καὶ οὕτω φαίνεται τῷ φωτὶ τῶν καλῶν ἔργων, ὅπερ ἐστὶν ἡ ἀγάπη. Ἐν ταύτῃ γὰρ ἡ λαμπρότης ἁπάσης ἐστὶν ἀρετῆς, καὶ τὴν ἐν Χριστῷ ζωὴν, ὅσον εἰς τὴν ἀνθρωπίνην φέρει σπουδὴν, ἐκείνη συνίστησιν. Ὅθεν οὐκ ἄν τις ἁμάρτοι ζωὴν αὐτὴν προσειπών· καὶ γὰρ ἕνωσίς ἐστι πρὸς τὸν θεὸν, τοῦτο δὲ ζωὴ, καθάπερ θάνατον ἴσμεν τὸν ἀπὸ θεοῦ
165 χωρισμόν. Διὰ τοῦτο γὰρ „ἡ ἐντολὴ αὐτοῦ φησι ζωὴ αἰώνιός ἐστι“, τὴν ἀγάπην λέγων, καὶ αὐτὸς ὁ σωτὴρ, „τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν“, ὧν τὸ κεφάλαιον ἡ ἀγάπη, καὶ „ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ“, ᾧ ταὐτόν ἐστιν ἐν τῇ

---

162. *καινότητι τ. ζ.* **Rom. 6, 4.**
163. *ὁ Δαβίδ.* **cf. Ps. 106, 28.**
165. **Joh. 13, 50. 6, 63. 1 Joh. 4, 16. Joh. 11, 25.**

θαρῶς· τὸ δὲ αὐτεξούσιον οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἀρχεῖν ἑαυτοῦ καὶ χρῆσθαι ἑαυτῷ μετ' ἐξουσίας καὶ ἀκολύτως κατὰ τὴν θέλησιν. Οὔτε γὰρ κατὰ τὴν γνῶσιν οὔτε κατὰ 5
τὴν πρᾶξιν ἀκωλύτως χρώμεθα ἡμῖν αὐτοῖς, οὔτε κατ' ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλὰ μόνον κατὰ τὴν θέλησιν, ὅτι πάντα δυνάμεθα θέλειν καὶ τὰ ἀδύνατα. Ὅταν τοίνυν μόνον βουλώμεθα τὸ ἀγαθὸν ἢ κακὸν, καὶ πρὸς τὸ ἕτερον οὐδεμίαν ἔχωμεν ῥοπὴν, κωλύεται κατὰ τοῦτο ἡ τῆς θελήσεως ἄδεια, ὅπερ ἐστὶ τὸ αὐτεξούσιον καὶ ἡ ἐξουσία. — Ἔτι τὸ αὐτεξούσιον ἐν τῷ ἀνθρώπῳ διὰ τὴν 6
προαίρεσιν ἐντεθῆναι λέγεται, ἵνα αἱρούμενος τὸ ἀγαθὸν στεφάνων ἄξιος γένηται, ὡς ὁ Θεολόγος ἐν τῷ εἰς τὸ πάσχα λόγῳ φησιν, „τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα.“ Ἡ δὲ προαίρεσις οὐ δύναται εἶναι ἄνευ τῆς ἐπ' ἄμφω ῥοπῆς, ὅθεν μάτην ἂν εἴη τὸ αὐτεξούσιον μὴ ὑποτεθείσης τῆς προαιρέσεως, μάτην δὲ οὔτε ἡ φύσις οὔτε ὁ θεὸς ποιεῖ. Οὐκ ἄρα δύναται τὸ αὐτεξούσιον συνεστάναι μὴ ὑποτεθείσης τῆς ἐπὶ τὸ κακὸν ῥοπῆς. — Εἰς τὸ ἐναν- 7
τίον ὅτι οὐκ ἔστιν ἐν τῷ λόγῳ τοῦ αὐτεξουσίου ἡ πρὸς τὸ κακὸν ῥοπή. Ἡ γὰρ θέλησις τὸ ἀγαθὸν μόνον ζητεῖ καθ' αὑτὸ, τὸ δὲ κακὸν κατὰ συμβεβηκὸς, καθόσον εὑρίσκει τινὰ καὶ ἐν αὐτῷ εἰκόνα τοῦ ἀγαθοῦ· ὅθεν ὅταν τοῦ ἀγαθοῦ μόνου γένηται ὡσὰν πλάνης ἀπηλλαγμένη καὶ συγχάνουσα ἀληθῶς τοῦ ἰδίου σκοποῦ, τότε ἑαυτῆς γίνηται καὶ ἑαυτῆς ἐξουσιάζει. Τὸ γὰρ ἀπατώμενον δουλεύει τρόπον τινὰ· τὸ ἄρα πρὸς τὸ ἀγαθὸν μόνον ῥέπειν τὴν θέλησιν οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον, ἀλλὰ μᾶλλον συνίστησι. —
Ἔτι ἕκαστον τελειοῦται, ὅταν τελείου τύχῃ ἰδίου ἀντικει- 8
μένου, ὥσπερ ἡ ὄψις, ὅταν τελείου τύχῃ τοῦ φωτός. Τότε γὰρ ἐνεργείᾳ ἐστὶν ὅπερ ἐστί· τῆς δὲ θελήσεως ἀντικείμενόν ἐστι τὸ ἀγαθόν. Ὅταν μὲν οὖν καὶ πρὸς τὸ ἀγαθὸν

---

6. *ὡς ὁ Θεολόγος.* Conf. Greg. Naz. Orat. XLII, p. 689. ed. Bill. Colon. 1690.

Appendix primus.

De libero arbitrio et peccato Scholion Cod. Vindob. fol. 144*).

1 Δοκεῖ ἐν τῷ λόγῳ εἶναι τοῦ αὐτεξουσίου τὴν ἐπ' ἄμφω δηλονότι τὴν ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ῥοπὴν, ὥστε μὴ οὔσης τῆς ἐπ' ἄμφω ῥοπῆς μηδὲ τὸ αὐτεξούσιον συνεστάναι. Διὰ ταῦτα παντὸς νόμου τὸ ὅλον ἔργον ἐστὶ, τὸ μὲν ἐπιτρέψαι, τὸ δὲ ἀποτρέψαι· ὅθεν ἀνάγκη κεῖσθαι τοὺς νόμους ἐπὶ τῶν δυναμένων ἄλλοτε ἄλλως ἔχειν, ἐπὶ δὲ τῶν ὡρισμένων καὶ ὁσαύτως ἐχόντων μηδε-
2 μίαν εἶναι χώραν τοῖς νόμοις. Ἐφ' ὧν δὲ οὐκ ἐστι χώρα νόμου, οὐδὲ ἀρχῆς ἐστι τόπος· οὐδὲν γὰρ ἕτερον ἡ ἀρχὴ ἢ νόμος ἔγγραφος ἢ ἄγραφος. Ἐπεὶ δὲ τὸ αὐτεξούσιον ἀρχή τίς ἐστιν, οὐκ ἂν ἔχοι χώραν, ὅταν ἡ θέλησις ὡρισμένως ἐπὶ μόνον φέρηται τὸ ἀγαθόν. Εἴρηται δὲ καὶ περὶ τῶν σπουδῇ καὶ ἀσκήσει γενομένων ἀγαθῶν, „τῷ
3 δικαίῳ νόμος οὐ κεῖται.“ Καίτοι πᾶς δίκαιος, κἂν ὁποσηοῦν ἁγιοσύνῃ διαφέρῃ, ἔχει τινὰ ἀεὶ πρὸς τὸ κακὸν ῥοπὴν καὶ δύναται μεταβάλλειν εἰς κακίαν ἀπὸ τῆς ἀρετῆς. Ὅταν δὲ οὐδὲ ῥοπὴ πρὸς τὸ κακὸν οὐδεμία ᾖ οὐδὲ δύναμις, ἐπ' ἐκείνου πῶς ἂν ἔχοι τόπον ὁ νόμος καὶ ἡ ἀρχή; Οὐκ ἄρα δυνατὸν, ἄνευ τῆς ἐπ' ἄμφω ῥοπῆς τὸ
4 αὐτεξούσιον εἶναι. — Ἔτι τὸ πρὸς ἓν ὡρισμένως ἔχειν τὴν ῥοπὴν, ἐναντίον ἐστὶ τῷ λόγῳ τῆς ἀδείας καὶ τῆς ἐξουσίας. Τὸ γὰρ ἄφετον καὶ ἐλεύθερον οὐ σώζεται κα-

---

*) Vide supra Cabas. de Vita. p. 130.

κωλύει καὶ τὸ αὐτεξούσιον εἶναι, καὶ τὴν ἐπὶ τὸ κακὸν ῥοπὴν παντελῶς ἀπεῖναι. — Ἔτι καὶ ἀπὸ τοῦ ὅρου τοῦ 14
αὐτεξουσίου φανερὸν γίνεται τὸ προκείμενον. Αὐτεξούσιον γάρ ἐστι τὸ ἑαυτοῦ ἄρχον, ἄρχον δὲ ἑαυτοῦ τὸ χρώμενον ἑαυτοῦ ἀκωλύτως· χρῆται δέ τίς τινι πράγματι, ὅταν πρὸς τὸ προσῆκον αὐτῷ τέλος τάττῃ αὐτό, δι' ὃ γέγονεν, οἷον χρῆταί τις τῇ οἰκίᾳ, ὅταν οἰκῇ ἢ οἰκίζῃ ἐν αὐτῇ ἕτερον. Τότε γὰρ τάττει αὐτὴν πρὸς τὸ προσῆκον αὐτῇ 15
τέλος, καὶ ὡς οἰκίᾳ αὐτῇ χρῆται καὶ καθ' αὑτό· ὅταν δὲ ἢ ἐμπρήσῃ φέρε εἰπεῖν ἢ κατασκάψῃ, τότε οὐχ ὡς οἰκίᾳ οὐδὲ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς αὐτῇ χρῆται. Ἔστι τοίνυν ἀρχὴ τοῦ πράγματος καθ' αὑτό, ὅταν τις αὐτῷ χρήσηται καθ' αὑτό, ἤγουν ὅταν αὐτὸ τάττῃ πρὸς τὸ προσῆκον αὐτῷ τέλος. Ἐπεὶ δὲ τὸ κακὸν οὐδενός ἐστι τέλος, οὐδὲν γὰρ διὰ τὸ κακὸν ὑπέστη, πρόδηλον ὡς ὁ χρώμενός τινι πράγματι ἐπὶ κακῷ, οὐ χρῆται αὐτῷ τῷ πράγματι καθ' αὑτὸ οὐδὲ ἄρχει αὐτὸ καθ' αὑτό. Οὐκοῦν 16
ὅταν ἡ θέλησις ἐπὶ μόνου ῥέπῃ τὸ ἀγαθὸν, τότε χρῆται ἑαυτῇ καὶ ἄρχει ἑαυτῆς ἀληθῶς, ὅτι πρὸς τὸ προσῆκον αὐτῇ τέλος τάττῃ ἑαυτὴν τὸ ἀγαθὸν· ὅταν δὲ καὶ πρὸς τὸ κακὸν ῥέπῃ, τότε οὔτε χρῆται ἑαυτῇ ἀληθῶς οὔτε ἄρχει τοῦ τέλους διαμαρτάνουσα. Φαίνεται τοίνυν ὅτι ἡ ἐπὶ τὸ κακὸν ῥοπὴ μᾶλλον ἐναντίον ἐστὶ τῷ λόγῳ τοῦ αὐτεξουσίου. — Λύσις τῶν ἐκ τοῦ ἐναντίου. Πρὸς τὸ πρῶ- 17
τον· ἐν τοῖς κατὰ νόμον ζῶσιν ἀεὶ καὶ ἐν τῷ ἀγαθῷ μόνῳ ἑστῶσιν, εἰ καὶ οὐκ ἔστιν ἡ ἀρχὴ ἐν τῷ γίνεσθαι, ἀλλ' ἔστιν ἐν τῷ γεγονέναι. Ἕως μὲν γὰρ ὁ ἄρχων νουθεσίας δεῖται καὶ νόμων καὶ προσταγμάτων, οὔπω ἦρξεν οὐδ' ἐτελείωσεν ὅπερ ἐζήτει, ὅτι μὴ πάντας τοὺς ἀρχομένους ἐν τοῖς αὐτοῦ νόμοις μένοντας ἔχει, ὅπερ ἐστὶν αὐτῷ σκοπός· καὶ τότε οὐ γέγονεν αὐτῷ ἡ ἀρχὴ ἀλλὰ γίνεται. Ὅταν δὲ οὐδενὸς δέηται προστάγματος, ὡσὰν πάντων ἐν οἷς βούλεται βεβαίως μενόντων, τότε ἡ ἀρχὴ αὐτῷ γέγονε καὶ τελειοῦται· καὶ τότε ἀληθῶς ἄρχει, ὅταν ἡ θέλησις μηδεμίαν ἔχῃ πρὸς τὸ κακὸν ῥοπήν. — Πρὸς τὸ δεύτε-

ῥέπῃ καὶ πρὸς τὸ κακὸν, οὐ μᾶλλον τελειοῦται ἢ ἀτελῶς ἔχει· ὅταν δὲ πρὸς μόνον ῥέπῃ τὸ ἀγαθὸν, διὰ τοῦτο τοῦ κακοῦ ἀπήλλακται, ὅτι τελείως τυγχάνῃ τοῦ ἀγαθοῦ.
9 Ἡ γὰρ ἐλλειπὴς τοῦ ἀγαθοῦ τεῦξις τὴν πρὸς τὸ κακὸν ῥοπὴν παρεισάγει. Ἀλλ' ὅταν τελείου τυγχάνῃ τοῦ ἀγαθοῦ, τελείως ἔχει καθὼς εἴρηται· ὅταν δέ τι τέλειον γένηται, οὐ δύναται ἀπολέσαι τι τῶν προσόντων αὐτῷ ἀγαθῶν·
10 τοὐναντίον μὲν οὖν προσλάβοι ἄν, ὃ μὴ πρότερον εἶχε. Τὸ δὲ αὐτεξούσιον ἀγαθόν ἐστι προσὸν τῇ θελήσει, καθ' ὃ καὶ ἐοικέναι λέγεται ἄνθρωπος τῷ θεῷ· οὐκ ἄρα δυνατὸν ἀπολέσθαι τὸ αὐτεξούσιον ὑποτεθείσης τῆς θελήσεως πρὸς
11 μόνον ῥοπὴν ἔχειν τὸ ἀγαθόν. — Ἔτι ἐν τῇ μελλούσῃ ἀποκαταστάσει μόνου τοῦ ἀγαθοῦ ἔσται ἡ τῶν ἁγίων θέλησις, τότε δὲ ἀπολέσαι αὐτοὺς τὸ αὐτεξούσιον παντελῶς ἐστι ἄτοπον. Ταὐτὸν γάρ ἐστιν εἰπεῖν ἀπολέσαι τὸ αὐτεξούσιον καὶ ἀπολέσαι τὸν ἄνθρωπον. Τὸ γὰρ βέλτιστον τῶν ἐν τῷ ἀνθρώπῳ ἐστὶν ὁ ἄνθρωπος, ὥσπερ τὸ βέλτιστον τῆς πόλεως ἐστὶν ἡ πόλις κατὰ τὸν Ἀριστοτέλην. Βέλτιστον δὲ τῶν ἐν τῷ ἀνθρώπῳ τὸ αὐτεξούσιον· οὐ γὰρ ἂν κατὰ τοῦτο ἐφκει τῷ θεῷ, εἰ μὴ αὐτο
12 ἦν τὸ βέλτιστον τῶν ἐν τῷ ἀνθρώπῳ. Ἀνάγκη δὲ ἐν τῇ ἀποκαταστάσει τὸ αὐτεξούσιον μεῖναι, πρῶτον μὲν, καθὼς εἴρηται, ὅτι ὁλόκληρον δεῖ ἀναστῆναι τὸν ἄνθρωπον, δεύτερον ὅτι ὁ καιρὸς ἐκεῖνος καιρός ἐστι τῆς πρὸς τὸν θεὸν ὁμοιώσεως τῶν ἁγίων, — „ὅταν γάρ φησι φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα“ —, καὶ διὰ τοῦτο μᾶλλον τότε λάμψει
13 τὸ αὐτεξούσιον ὡς εἰκόνα φέρον ἐν ἡμῖν τοῦ θεοῦ. Τρίτον ὅτι καιρός ἐστιν ἐπάθλων ὁ μέλλων αἰὼν, ὅθεν ἀνάγκη τὸ μέρος ἐκεῖνο τῆς ψυχῆς, καθ' ὃ ἠγωνίσατο ὑπὲρ τῆς ἀρετῆς, τότε εἶναι, ἵνα στεφανωθῇ· ἀγωνίζονται δὲ οἱ ὑπὲρ τῆς ἀρετῆς καὶ τοῦ ἀγαθοῦ ἀγωνιζόμενοι κατὰ τὸ αὐτεξούσιον, κατὰ τὴν τῆς θελήσεως ἐξουσίαν. Κατὰ ταύτην γὰρ ἢ ἀγαθός τις γίνεται ἢ πονηρός· οὐδὲν ἄρα

---

11. κατὰ τὸν Ἀριστοτέλην. Conf. Arist. Polit. IV, cp. 11.

κωλύει καὶ τὸ αὐτεξούσιον εἶναι, καὶ τὴν ἐπὶ τὸ κακὸν ῥοπὴν παντελῶς ἀπεῖναι. — Ἔτι καὶ ἀπὸ τοῦ ὅρου τοῦ 14
αὐτεξουσίου φανερὸν γίνεται τὸ προκείμενον. Αὐτεξούσιον γάρ ἐστι τὸ ἑαυτοῦ ἄρχον, ἄρχον δὲ ἑαυτοῦ τὸ χρώμενον ἑαυτοῦ ἀκωλύτως· χρῆται δέ τίς τινι πράγματι, ὅταν πρὸς τὸ προσῆκον αὐτῷ τέλος τάττῃ αὐτό, δι' ὃ γέγονεν, οἷον χρῆταί τις τῇ οἰκίᾳ, ὅταν οἰκῇ ἢ οἰκίζῃ ἐν αὐτῇ ἕτερον. Τότε γὰρ τάττει αὐτὴν πρὸς τὸ προσῆκον αὐτῇ 15
τέλος, καὶ ὡς οἰκίᾳ αὐτῇ χρῆται καὶ καθ' αὑτό· ὅταν δὲ ἢ ἐμπρήσῃ φέρε εἰπεῖν ἢ κατασκάψῃ, τότε οὐχ ὡς οἰκίᾳ οὐδὲ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς αὐτῇ χρῆται. Ἔστι τοίνυν ἀρχὴ τοῦ πράγματος καθ' αὑτὸ, ὅταν τις αὐτῷ χρήσηται καθ' αὑτὸ, ἤγουν ὅταν αὐτὸ τάττῃ πρὸς τὸ προσῆκον αὐτῷ τέλος. Ἐπεὶ δὲ τὸ κακὸν οὐδενός ἐστι τέλος, οὐδὲν γὰρ διὰ τὸ κακὸν ὑπέστη, πρόδηλον ὡς ὁ χρώμενός τινι πράγματι ἐπὶ κακῷ, οὐ χρῆται αὐτῷ τῷ πράγματι καθ' αὑτὸ οὐδὲ ἄρχει αὐτὸ καθ' αὑτό. Οὐκοῦν 16
ὅταν ἡ θέλησις ἐπὶ μόνον ῥέπῃ τὸ ἀγαθὸν, τότε χρῆται ἑαυτῇ καὶ ἄρχει ἑαυτῆς ἀληθῶς, ὅτι πρὸς τὸ προσῆκον αὐτῇ τέλος τάττῃ ἑαυτὴν τὸ ἀγαθὸν· ὅταν δὲ καὶ πρὸς τὸ κακὸν ῥέπῃ, τότε οὔτε χρῆται ἑαυτῇ ἀληθῶς οὔτε ἄρχει τοῦ τέλους διαμαρτάνουσα. Φαίνεται τοίνυν ὅτι ἡ ἐπὶ τὸ κακὸν ῥοπὴ μᾶλλον ἐναντίον ἐστὶ τῷ λόγῳ τοῦ αὐτεξουσίου. — Λύσις τῶν ἐκ τοῦ ἐναντίου. Πρὸς τὸ πρῶ- 17
τον· ἐν τοῖς κατὰ νόμον ζῶσιν ἀεὶ καὶ ἐν τῷ ἀγαθῷ μόνῳ ἐστῶσιν, εἰ καὶ οὐκ ἔστιν ἡ ἀρχὴ ἐν τῷ γίνεσθαι, ἀλλ' ἔστιν ἐν τῷ γεγονέναι. Ἕως μὲν γὰρ ὁ ἄρχων νουθεσίας δεῖται καὶ νόμων καὶ προσταγμάτων, οὔπω ἦρξεν οὐδ' ἐτελείωσεν ὅπερ ἐζήτει, ὅτι μὴ πάντας τοὺς ἀρχομένους ἐν τοῖς αὐτοῦ νόμοις μένοντας ἔχει, ὅπερ ἐστὶν αὐτῷ σκοπός· καὶ τότε οὐ γέγονεν αὐτῷ ἡ ἀρχὴ ἀλλὰ γίνεται. Ὅταν δὲ οὐδενὸς δέηται προστάγματος, ὡσὰν πάντων ἐν οἷς βούλεται βεβαίως μενόντων, τότε ἡ ἀρχὴ αὐτῷ γέγονε καὶ τελειοῦται· καὶ τότε ἀληθῶς ἄρχει, ὅταν ἡ θέλησις μηδεμίαν ἔχῃ πρὸς τὸ κακὸν ῥοπήν. — Πρὸς τὸ δεύτε-

ρον· τότε κωλύεται ἡ ἐξουσία τῆς κινήσεως, ὅταν ἔξωθεν ἢ τὸ κωλύον τὴν κίνησιν· ὅταν δὲ παρ' ἑαυτοῦ τὸ κινούμενον ἐπισχεθῇ, τότε ἡ μὲν κίνησις κωλύεσθαι λέγεται, ἡ
19 δὲ ἐξουσία τῆς κινήσεως οὐδαμῶς. — Πρὸς τὸ τρίτον· τὸ αὐτεξούσιον ἐνετέθη τῷ ἀνθρώπῳ διὰ τὴν προαίρεσιν προσεχῶς, ἔσχατον δὲ διὰ τὴν πρὸς τὸ ἀγαθὸν ῥοπήν. Ἐν τοίνυν τοῖς ἐν τῷ ἀγαθῷ μόνῳ μένουσιν, εἰ καὶ οὐ πάρεστιν ἡ προαίρεσις, ἀλλ' ἔστιν ἐπὶ τὸ ἀγαθὸν ῥοπή,
20 οὗ χάριν καὶ ἡ προαίρεσις, καὶ διὰ τοῦτο οὐ μάτην. Εἰ ὁ θανάσιμα ἁμαρτάνων δύναται ἐλεημοσύνας ποιῶν ἢ ἄλλα τινὰ ἀρετῆς ἔργα ἀρέσαι θεῷ, καὶ δοκεῖ δύνασθαι διὰ ταῦτα, τὸ ἀγαθὸν ἐπικρατέστερόν ἐστι τοῦ κακοῦ· ὅθεν ἀκόλουθον καθάπερ ἐπὶ τῶν σωματικῶν ποιοτήτων ἀπὸ τοῦ ἀγαθοῦ μᾶλλον ποιηθῆναι τὸν ἄνθρωπον ὡς ἀπὸ δραστικωτέρας ποιότητος, ἢ ἀπὸ τοῦ κακοῦ. Οὐκοῦν σπουδαῖος ἂν εἴη μᾶλλον διὰ τὴν ἀρετὴν ἢ μοχθηρὸς διὰ τὴν κακίαν· εἰ δὲ τοῦτο καὶ ἀγαθός· ὁ δὲ τοιοῦ-
21 τος καὶ τῷ θεῷ ἀρέσειεν ἄν. — Ἔτι ὁ θεὸς ἑτοιμότερός ἐστι πρὸς τὰς ἁμοιβὰς ἢ πρὸς τὰς κολάσεις, ἀλλὰ φαίνεται κολάζων τὰς ἁμαρτίας τῶν ἐπ' ἀρετῇ ζώντων· ἂν γάρ τι μεταξὺ ἁμάρτωσιν οἱ σπουδαῖοι καὶ ἁμαρτίαν μὴ πρὸς θάνατον, ὑπεύθυνοί εἰσι κατ' ἐκεῖνο κολάσεως ἀναλόγου. Εἰ τοίνυν ἡ κόλασις τῶν ἁμαρτησάντων οὐ κωλύεται ὑπὸ τῆς ἀρετῆς τῶν τολμησάντων, πολλῷ ἄρα μᾶλλον ἡ ἁμοιβὴ τῶν ἀγαθῶν ἔργων οὐ κωλυθήσεται ὑπὸ τῆς κακίας τῶν κατωρθωκότων· δυνατὸν ἄρα κατά τι θεῷ ἀρέσαι τὸν θα-
22 νάσιμα ἁμαρτάνοντα. — Ἔτι ἐν τῇ κατὰ τὸν Λάζαρον ἱστορίᾳ λέγεται περὶ τοῦ Ἀβραὰμ πρὸς τὸν πλούσιον, „ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου.“ Ἔνθα ἡ ἐξήγησίς φησιν, ἔργα τινὰ ἀγαθὰ αὐτὸν ποιῆσαι, ὧν μισθὸν λαβεῖν τὴν ἐν τῷ παρόντι βιῷ εὐημερίαν. Οὐκ ἂν δὲ ἔδοξε τῷ θεῷ ἄξια μισθοῦ ποιεῖν ὁπωσδήποτε μὴ εὐαρεστήσας

---

22. ἀπέλαβες. Luc. 16, 25.

Appendix secundus.

Μάρκου ἀρχιεπισκόπου Ἐφέσου

*κεφάλαια συλλογιστικὰ κατὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιστῶν περὶ διακρίσεως θείας οὐσίας καὶ ἐνεργείας**).

1. *Εἰ ταὐτόν ἐστι θεοῦ οὐσία καὶ ἐνέργεια, τὰ ἐκ τῆς οὐσίας καὶ ἐκ τῆς ἐνεργείας ἔσται, καὶ τὰ ἐκ τῆς ἐνεργείας ἐκ τῆς οὐσίας. Καὶ οὕτως ὁ μὲν υἱὸς καὶ τὸ πνεῦμα καὶ ἐκ τῆς ἐνεργείας ἔσονται, καὶ οὐκέτι γέννημα καὶ ἐκπόρευμα μόνον, ἀλλὰ καὶ ἐνεργήματα καὶ ἀποτελέσματα· ἡ δὲ πίστις ἐκ τῆς οὐσίας καὶ οὐκ ἐνέργημα μόνον ἀλλὰ καὶ γέννημα. Τὰ δ' ἀμφότερα ἀσεβῆ καὶ τῆς ἀληθείας ἀλλότρια.*

2. *Ἔτι εἰ ταὐτὸν οὐσία καὶ ἐνέργεια, πάντη τε καὶ πάντως ἅμα τῷ εἶναι καὶ ἐνεργεῖν τὸν θεὸν ἀνάγκη· συναΐδιος ἄρα τῷ θεῷ ἡ κτίσις ἐξ ἀϊδίου ἐνεργοῦντι κατὰ τοὺς Ἕλληνας.*

3. *Εἰ τὰ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον καὶ ταὐτὰ ἀλλήλοις εἰσὶν, ὁ Πέτρος καὶ Παῦλος τὸν αὐτὸν ἐπιδεχόμενοι τοῦ ἀνθρώπου λόγον ἔσονται καὶ ταὐτὸν ἀλλήλοις. Οὔκ εἰσι δέ· οὐδ' ἄρα ἡ οὐσία καὶ ἡ ἐνέργεια τὸν αὐτὸν ἐπιδεχόμεναι τοῦ ἁπλοῦ καὶ ἀκτίστου καὶ ἀσωμιάτου λό-*

*) **Ex Cod. Graeco Vindobonensi 171. fol. 1 — 11. Vid. Nesselii Catal. part. I, p. 251. Confer praeterea de his Marci Eugenici capitulis syllogisticis Prolegom. nostra p. 11. et Fabricii Bibl. Gr. ed. Harl. XI, p. 676.**

τὸ τρίτον· ὁ πλούσιος οὐχ ὡς θεῷ ἀρέσκων παρὰ τοῦ θεοῦ ἔλαβε τὸν μισθὸν τὴν παροῦσαν εὐημερίαν, ἀλλ' ὅτι αὐτὸς ταύτην ἐζήτησεν, ὥσπερ οἱ κατ' ἐπίδειξιν νηστεύοντες ἢ ἐλεημοσύνας ποιοῦντες, ἀπέχουσί φησι τὸν μισθὸν αὐτῶν.

---

28. ἀπέχουσι. **Matth. 6, 2.**

Appendix secundus.

Μάρκου ἀρχιεπισκόπου Ἐφέσου

*κεφάλαια συλλογιστικὰ κατὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιστῶν περὶ διακρίσεως θείας οὐσίας καὶ ἐνεργείας**).

1. Εἰ ταὐτόν ἐστι θεοῦ οὐσία καὶ ἐνέργεια, τὰ ἐκ τῆς οὐσίας καὶ ἐκ τῆς ἐνεργείας ἔσται, καὶ τὰ ἐκ τῆς ἐνεργείας ἐκ τῆς οὐσίας. Καὶ οὕτως ὁ μὲν υἱὸς καὶ τὸ πνεῦμα καὶ ἐκ τῆς ἐνεργείας ἔσονται, καὶ οὐκέτι γέννημα καὶ ἐκπόρευμα μόνον, ἀλλὰ καὶ ἐνεργήματα καὶ ἀποτελέσματα· ἡ δὲ πίστις ἐκ τῆς οὐσίας καὶ οὐκ ἐνέργημα μόνον ἀλλὰ καὶ γέννημα. Τὰ δ' ἀμφότερα ἀσεβῆ καὶ τῆς ἀληθείας ἀλλότρια.

2. Ἔτι εἰ ταὐτὸν οὐσία καὶ ἐνέργεια, πάντη τε καὶ πάντως ἅμα τῷ εἶναι καὶ ἐνεργεῖν τὸν θεὸν ἀνάγκη· συναΐδιος ἄρα τῷ θεῷ ἡ κτίσις ἐξ ἀϊδίου ἐνεργοῦντι κατὰ τοὺς Ἕλληνας.

3. Εἰ τὰ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον καὶ ταὐτὰ ἀλλήλοις εἰσὶν, ὁ Πέτρος καὶ Παῦλος τὸν αὐτὸν ἐπιδεχόμενοι τοῦ ἀνθρώπου λόγον ἔσονται καὶ ταὐτὸν ἀλλήλοις. Οὔκ εἰσι δέ· οὐδ' ἄρα ἡ οὐσία καὶ ἡ ἐνέργεια τὸν αὐτὸν ἐπιδεχόμεναι τοῦ ἁπλοῦ καὶ ἀκτίστου καὶ ἀσωμάτου λό-

---

*) Ex Cod. Graeco Vindobonensi 171. fol. 1 — 11. Vid. Nesselii Catal. part. I, p. 251. Confer praeterea de his Marci Eugenici capitulis syllogisticis Prolegom. nostra p. 11. et Fabricii Bibl. Gr. ed. Harl. XI, p. 676.

γον ἤδη καὶ ταὐτὸν ἀλλήλοις εἰσίν. Τὸ ταὐτὸν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ· ἀλλὰ γένει μὲν ἢ εἴδει οὐκ ἂν φαῖεν ταὐτὸν εἶναι τὴν ἐνέργειαν τῇ οὐσίᾳ· λείπεται οὖν ἀριθμῷ ταὐτὸν εἶναι καθάπερ ἐπὶ τῶν πολυωνύμων, ὡς ὅταν οὐσίαν ἐπὶ θεοῦ καὶ μορφὴν καὶ φύσιν τὸ αὐτὸ λέγωμεν. Ἀλλὰ τὸ μὲν εἴρηται, τὸ δὲ σεσιώπηται, μᾶλλον δὲ καὶ ῥητῶν ἀπηγόρευται· φύσις γὰρ καὶ ἐνέργεια κατὰ τὸν θεῖον Κύριλλον οὐ ταὐτόν.

4. Εἰ ἐνέργεια τοῦ πατρὸς ὁ υἱός ἐστι μόνος, ὡς δοκεῖ τοῖς αἱρετικοῖς, ὁ δ' αὐτός ἐστι καὶ ὑπόστασις, ἐνέργεια δὲ καὶ οὐσία τὸ αὐτὸ κατ' αὐτοὺς, ἔσται ταὐτὸν ὑπόστασις καὶ οὐσία· καὶ οὕτω Σαβέλλειός τις σύγχυσις εἰσαχθήσεται. Εἰ ἐνέργεια τοῦ πατρὸς ὁ υἱός ἐστι μόνος, οὐδεμία δὲ ἐνέργεια ἐνυπόστατος, τουτέστι καθ' ἑαυτὴν ὑφεστῶσα κατὰ τὸν μέγαν Βασίλειον, ὁ υἱὸς ἔσται ἐνέργεια ἀνυπόστατος· ἀλλὰ τοῦτο Μαρκέλλου καὶ Φωτεινοῦ τῶν αἱρετικῶν παραλήρημα.

5. Εἰ δύο τὰς φύσεις ὁ Χριστὸς ἔχων μὲν τὴν ἕνωσιν δύο καὶ τὰς ἐνεργείας εἶχε κατὰ τὸ δόγμα τῆς ἕκτης συνόδου τῶν οἰκουμενικῶν, τέσσαρα ταῦτά ἐστι, φύσις θεία καὶ ἀνθρωπίνη, καὶ ἐνέργεια θεία καὶ ἀνθρωπίνη· καὶ ὥσπερ ἡ ἀνθρωπίνη ἐνέργεια ἑτέρα παρὰ τὴν φύσιν, ἀλλὰ κτιστὴ τῆς κτιστῆς, οὕτω καὶ ἡ θεία ἐνέργεια ἑτέρα παρὰ τὴν φύσιν, ἀλλὰ ἄκτιστος τῆς ἀκτίστου. Τὴν ἀνθρωπίνην ἐπὶ Χριστοῦ ἐνέργειαν ἀναιροῦσι τοῖς αἱρετικοῖς οἱ πατέρες μαχόμενοι οὐκ ἀντ' ἐκείνης αὐτοὶ τὴν θείαν ἀνήρουν, ἀρκούμενοι μόνῃ τῇ φύσει διὰ τὴν ἄκραν ἁπλότητα, ὡς δοκεῖ τοῖς Ἀκινδυνίζουσιν, ἀλλὰ δύο τὰς ἐνέργειας ἐκήρυττον διαῤῥήδην, ὥσπερ οὖν καὶ τὰς φύσεις. Ἤδεσαν ἄρα καὶ τῆς θείας φύσεως ἕτερον οὖσαν τὴν θείαν ἐνέργειαν, ὥσπερ οὖν καὶ τῆς ἀνθρωπίνης τὴν ἀνθρωπίνην.

6. Εἰ σωματικῶν μελῶν διάθεσις οὐκ ἔστι παρὰ θεᾷ, πάντα ἄρα τὰ ὡς μέλη περὶ αὐτοῦ παρὰ τῇ γραφῇ λεγόμενα καὶ ὑμνούμενα, τῶν ἐνεργειῶν εἰσι δηλωτικά· αἳ

πρὸς ἡμᾶς καταβαίνουσι τῆς οὐσίας ἀπροσίτου μενούσης, ὡς οἱ θεολόγοι φασίν.

7. Εἰ ἐκ τῆς οὐσίας ἡ ἐνέργεια προιέναι τε καὶ πηγάζειν ἀεννάως εἴρηται, τὸ δ' ἐπ' οὐδενὸς ἂν οὐδεὶς τολμήσειε τῶν κτισμάτων εἰπεῖν, οὐκ ἄρα ἡ ἐνέργεια κτίσμα, καὶ μὴν οὐδ' αὐτὴ ἡ οὐσία.

8. Εἰ παντελῶς ἀκίνητόν τε καὶ ἀνενέργητον τὸν θεὸν εἶναι φῶμεν, ὡς δοκεῖ τοῖς αἱρετικοῖς, αὐτὸς μὲν ὡς τέλος μόνον καὶ ἐφετὸν κινήσει τὸν κόσμον, οὐδεμίαν εἰς αὐτὸν οὔτε πρόνοιαν ἔχων οὔτε δύναμιν διεὶς, ὁ δὲ κόσμος ἔσται ζῶον προαιρετικὸν, ἀΐδιον αὐτὸς ἑαυτὸν διοικῶν καὶ ἐφέσει μόνῃ τοῦ θείου κινούμενος. Ἀλλὰ ταῦτα Ἑλληνικὰ καὶ μυθώδη καὶ τοῖς εὐσεβέσιν ἀπόβλητα.

9. Εἰ ἅπερ ἔστιν ὁ θεὸς, ταῦτα καὶ ἔχειν λέγεται, ζωή τε γὰρ ἔστι καὶ ζωὴν ἔχει καὶ σοφία ἔστι καὶ σοφίαν ἔχει, καὶ τὰ λοιπὰ οὕτως· ἢ μὲν αὐτὰ ἔστιν ὁ θεὸς, οὐδαμῶς αὐτοῦ διακρίνονται, οὐσιώδη γάρ εἰσι καὶ φυσικὰ τοῦ θεοῦ, ἢ δὲ αὐτὰ ἔχει, διακρίνονταί τε καὶ πρὸς ἡμᾶς καταβαίνουσι· καὶ αὗταί εἰσιν αἱ ἐνέργειαι πληθυνόμεναί τε ἐνικῶς καὶ ἀδιαιρέτως διαιρούμεναι τῆς μιᾶς οὐσίας.

10. Εἰ τὰ ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορῶνται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, ἐκ δὲ τῶν ποιημάτων οὐ τῆς οὐσίας ἀλλὰ τῆς ἐνεργείας ἐν περινοίᾳ γινόμεθα κατὰ τὰς θεολόγους φωνάς· ἕτερον ἄρα ἡ τοῦ θεοῦ οὐσία καὶ ἕτερον ἡ καθορωμένη καὶ νοουμένη διὰ τῶν ποιημάτων δύναμις αὐτοῦ καὶ θειότης, ἀΐδιος μέντοι καὶ αὐτὴ τυγχάνουσα.

11. Εἰ οἱ λόγοι τῶν ὄντων ἐν τῷ θεῷ ἀνάρχως καὶ ἀϊδίως ὄντες, ὡς οἱ θεολόγοι πάντες φασὶν, οὔτ' αὐτοί εἰσιν ἡ τοῦ θεοῦ οὐσία, πῶς γὰρ οἱ ληπτοὶ καὶ ἡμῖν ἀμηγέπη τυγχάνοιεν ἐκείνης ἀκαταλήπτου μενούσης; — οὔτε μὴν ἐκτός εἰσι τοῦ θεοῦ, τὰ γὰρ μετὰ θεὸν πάντα κτίσματα, καὶ ἅμα ταῖς Πλατωνικαῖς ἰδέαις ἐκ τούτων

δώσομεν χώραν· οὐκ ἄρα μόνον ἓν ἄκτιστον, ἡ τοῦ θεοῦ οὐσία, καθ' ἃ περιβομβοῦσιν οἱ τὰ 'Ακινδύνου νοσοῦντες.

12. Πρὸς μὲν τὸν υἱὸν καὶ τὸ πνεῦμά φασιν οἱ 'Ακινδυνόφρονες, ὡς φύσιν ὁ θεὸς ἔχει, πρὸς δὲ τὴν κτίσιν ὡς βούλησιν καὶ ἐνέργειαν· ταῦτα μὲν οὖν περινοοῦσιν, ἵνα τὴν διάκρισιν ἀποκλείσωσι. Φαίνεται δὲ καὶ αὐτόθεν αὕτη, κἂν μὴ νοῶσιν ἃ λέγουσι. Πρὸς ἃ γάρ ἐστι φύσις, οὔκ ἐστι βούλησις, καὶ πρὸς ἃ βούλησις, οὔκ ἐστι φύσις ἔπειτα· πόθεν καὶ λαβόντες ἔχουσι τὰς τοιαύτας φωνὰς, αὐτὸν εἶναι τὸν πατέρα φύσιν ἢ βούλησιν. 'Αναγκασθήσονται γὰρ ἐκ τούτου καὶ γέννησιν αὐτὸν εἶναι φάναι. 'Αλλὰ ἄλλο γεννῶν καὶ γέννησις εἴρηται, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύοντες οὐκ ἀκούουσιν. "Αλλως τε εἰ μὲν τὴν φύσιν ὡς ὑποκείμενον λέγουσι, τὴν δὲ βούλησιν ἐπιθεωρούμενον, εἰς ταὐτὸν ἡμῖν ἔρχονται· εἰ δ' ἀμφότερα λόγους μόνον, ὡς ἔχει τὸ σπέρμια καὶ ὁ καρπὸς ἐπὶ τοῦ αὐτοῦ σίτου, τί τὸ ὑποκείμενον ἄλλο παρὰ τὴν φύσιν καὶ τὴν οὐσίαν, αὐτοὶ λεγέτωσαν.

13. Εἰ κατὰ πολλῶν μὲν ἡ οὐσία τοῦ θεοῦ οὐ λέγεται, μία γὰρ ἡ αὐτοῦ οὐσία, κατὰ πολλῶν δὲ καὶ διαφόρων ἡ ἐνέργεια λέγεται, πολλαὶ γὰρ αἱ αὐτοῦ ἐνέργειαι· ἕτερον ἄρα ἡ αὐτοῦ οὐσία καὶ ἕτερον ἡ ἐνέργεια.

14. Εἰ πᾶσα δύναμις πρὸς ἕτερον λέγεται, πρὸς γὰρ τὸ δυνατὸν ἀποδίδοται, καὶ τοῦτο Θωμας ὁ τῶν Λατίνων διδάσκαλος ῥητῶς ἀποφαίνεται· ἕτερον ἄρα οὐσία θεοῦ καὶ ἕτερον δύναμις, εἰ μὴ καὶ τὴν οὐσίαν τις εἶναι φαίη τῶν πρός τι.

15. Εἰ καὶ παράδοξον τὸ λεγόμενον εἶναι δόξει καὶ μάλιστα τοῖς αἱρετίζουσιν 'Ακινδυνισταῖς, ἀλλ' οὖν ἐστιν ἀληθέστατον, ὅτι περ ἐπὶ τῶν ἐγγυτέρω θεοῦ φύσεων νοερῶν τε καὶ λογικῶν καὶ αὐτοῦ τοῦ θεοῦ μᾶλλον ἡ ἐνέργεια διακέκριται τῆς οὐσίας ἢ ἐπὶ τῶν ἀπωτέρω καὶ τῶν

14) Conf. Thom. Aquin. Summ. p. 1, qu. 25. art. 1 et qu. 41 art. 5.

δυοῖν φύσεων ὑποστῆναι καὶ καθ' ἑαυτὰς δυναμένων εἰσί τε καὶ λέγονται.

18. Εἰ ὁ νοῦς παρὰ τὴν διάνοιαν οὐκ ἐστι σύνθετος, οἷόν τινα διέξοδον αὐτοῦ πρὸς τὰ αἰσθητὰ τυγχάνουσαν νοῦν καὶ αὐτὴν ἐνίοτε προσαγορευομένην, οὐδ' ὁ θεὸς ἄρα πολλῷ μᾶλλον παρὰ τὴν ἐνέργειαν οὐκ ἐστι σύνθετος, κἂν θεότης αὕτη προσαγορεύοιτο.

19. Εἰ τοῦ νοῦ ἡ διάνοια μή ἐστι ἀλλότριον, φυσικὴ γάρ ἐστιν αὐτοῦ δύναμις, δι' ἧς τῶν λόγῳ δεικνυμένων ἀντιλαμβάνεται, οὐδ' ἡ ἐνέργεια ἄρα τοῦ θεοῦ ἐστιν ἀλλότριον, φυσική τις αὐτοῦ τυγχάνουσα δύναμις.

20. Καὶ τοῦτο τῶν Ἀκινδυνιστῶν ἐκ τῆς Εὐνομίου παραφροσύνης, ὥσπερ οὖν καὶ τὸ τὴν φωνὴν τῆς θεότητος εἰς μόνην τὴν οὐσίαν ἀνάγειν, ὅτι τὴν κατ' ἐπίνοιαν διαφορὰν ἐπὶ τῆς οὐσίας καὶ ἐνεργείας παραδεχόμενοι τὴν ἐπίνοιαν ἀνύπαρκτόν τε οἴονται παντελῶς, ἂν ψιλῇ προφορᾷ λόγου τε καὶ νοήματος ἡμετέρου συνισταμένην. Ἀλλ' ἀκουέτωσαν τοῦ θεοφόρου πρὸς ἡμῶν Βασιλείου, κἀκείνου ἐλέγχοντος καὶ τούτους ἐντρέποντος. „Τὰς γὰρ ἐν Χριστῷ φησι συνελθούσας φύσεις ἐπινοίᾳ μόνῃ θεωροῦμεν καὶ διακρίνομεν· ἀλλ' οὐδὲν ἧττόν εἰσι μὲν τῶν ἑαυτῆς ἑκατέρα ἰδιωμάτων. Οὕτω δὴ καὶ τὰ ἐπὶ θεοῦ λεγόμενα καὶ αἱ ἐνέργειαι πᾶσαι, κἂν ἐπινοίᾳ διακρίνεσθαι λέγωνται, οὐ διὰ τοῦτο ἀνύπαρκτοι, πλὴν ὅσον ἐκεῖ μὲν σύνθεσις, ἐπειδὴ καὶ καθ' ἑαυτὴν ἑκατέρα φύσις ὑποστῆναι δύναται μὲν τῶν οἰκείων ἰδιωμάτων, ἐνθαῦθα δὲ οὐδαμῶς."

21. Εἰ οἱ λόγοι τῶν ὄντων ἐν τῷ θεῷ προαιωνίως ὄντες οὐ μορφοῦσι τὸν θεῖον νοῦν οὐδὲ συντιθέασιν, οὐδ' αἱ ἐξ αὐτοῦ ἄρα προϊοῦσαι ἐνέργειαι σύνθετον τοῦτον ἀποφανοῦσιν.

22. Εἰ ὁ ἡμέτερος νοῦς ἐπιστήμην ἔχων ἢ προσλαμ-

---

21) Conf. Basil. Magn. Orat. contra Eunom. lib. I, p. 705. Par. 1638. tom. I.

βάνων οὐ παρὰ τοῦτο σύνθετος, οὐδ' ὁ θεὸς ἄρα πολλῷ μᾶλλον οὔκ ἐστι σύνθετος ἐκ τῶν φυσικῶς αὐτῷ προσόντων ἰδιωμάτων.

23. Καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ ἕτερον μὲν ἡ ὄψις ὡς εἶδος καὶ ἕξις, ἕτερον δὲ ἡ ὁρατικὴ δύναμις καὶ ἡ ὅρασις ὡς ἐνέργεια· καὶ ἡ μὲν ποιεῖ σύνθεσιν, ἡ δ' οὐδαμῶς· οὐ γὰρ παρὰ τὴν ἐνέργειαν, ἀλλὰ παρὰ τὴν ἕξιν ὁ ὀφθαλμὸς σύνθετος. Ὁ δὲ τῶν ὅλων θεὸς, ὡς εἶδος μὲν καὶ ἕξιν οὐδὲν ἔχει, καθ' ὃ ἂν εἴη σύνθετος, ἀλλ' ἥ τε σοφία καὶ ἡ ἀγαθότης καὶ εἴ τι τοιοῦτον συνουσιοῦται αὐτῷ διὰ τὴν ἁπλότητα, ὡς δὲ καὶ ἐνεργείας αὖθις αὐτὰ ταῦτα διακρινόμενα ἔχων, οὐδὲν ἐκ τούτου εἰς τὴν κατ' αὐσίαν ἁπλότητα παραβλάπτεται. Ταῦτα μὲν οὖν καὶ οἱ θεολόγοι διδάσκουσι φανερῶς· οἱ δὲ αἱρετικοὶ μὴ παραδεχόμενοι, καθ' ὃ μὲν λέγουσι καὶ δοκοῦσι φυλάττειν, ὁμοφωνοῦσιν ἡμῖν, λέγοντες δὴ τὴν ἁπλότητα, καθ' ὃ δὲ ἀπαγορεύουσι τὴν διάκρισιν, τῇ τε ἀληθείᾳ καὶ τοῖς θεολόγοις πᾶσι καὶ ἡμῖν διαμάχονται, τὸν αὐτὸν ἀτεχνῶς τρόπον τοῖς Ἰουδαίοις. Κακεῖνοι γὰρ θεὸν μὲν ἕνα λέγοντες εἰς ταὐτὸν ἡμῖν ἔρχονται, τὴν δὲ τῶν προσώπων διάκρισιν οὐ παραδεχόμενοι πρὸς τὴν ἀπώλειαν συμπαραλαβόντες τοὺς Ἀκινδυνιστὰς ὑποστρέφουσιν.

24. Εἰ ἅπερ ἐστὶ κατ' οὐσίαν ὁ θεὸς, ταῦτα καὶ ἡμῖν κατὰ χάριν δωρεῖται, οὐκ αὐτά ἐστιν ἡ τοῦ θεοῦ οὐσία· τῆς γὰρ οὐσίας αὐτοῦ οὐδενὶ μεταδίδωσιν.

25. Εἰ ἅπερ ἐστὶ κατ' οὐσίαν ὁ θεὸς, ταῦτα καὶ ἡμῖν κατὰ χάριν δωρεῖται, οὐκ ἀλλότρια ἄρα αὐτοῦ, ἅπερ ἡμῖν δωρεῖται, περὶ δὲ αὐτὸν οὐσιωδῶς θεωρούμενα κατὰ τὰς φωνὰς τῶν ἁγίων.

26. Εἰ οὐδείς ἐστι τῶν ἀνθρώπων ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεὸς, οὐδέσιν ἄρα ἡ ἀρετὴ καὶ τὸ ἀγαθοῖς εἶναι πρόσεστι κατὰ φύσιν, εἰ μὴ ἐκ θεοῦ παραγένοιτο· καὶ διὰ τοῦτο ὁ θεῖος Μάξιμος εἶπεν, „ἄναρχος πᾶσα ἀρετὴ

μὴ ἔχουσα χρόνου ἑαυτῆς πρεσβύτερον, ἅτε τὸν θεὸν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα."

27. Εἰ τὰ φυσικὰ ἰδιώματα ἐπὶ θεοῦ ἀναιρήσομεν, δι' ὧν ἡ κοινότης γνωρίζεται, καὶ τὰ ὑποστατικὰ δηλονότι συναναιρήσομεν, δι' ὧν αἱ ὑποστάσεις χωρίζονται· καὶ οὕτως ἡ Σαβελλιανὴ σύγχυσις χώραν ἕξει.

28. Εἰ τῷ λόγῳ διαφέρουσι μόνον τὰ περὶ θεοῦ λεγόμενα, καθάπερ οἱ νέοι κομψολογοῦσι δογματισταὶ, πῶς μὴ ὄντα; τὸ γὰρ εἶναι ἑκάστοις ἐν τῷ ἰδίῳ λόγῳ.

29. Εἰ πολυποίκιλος μὲν ἡ τοῦ θεοῦ σοφία λέγεταί τε καὶ ἔστι, πολυποίκιλος δὲ αὐτοῦ ἡ οὐσία οὐκ ἔστιν, ἕτερον ἄρα ἡ αὐτοῦ οὐσία καὶ ἕτερον ἡ σοφία· καὶ οὐχ ἡ οὐσία ἐκ τῆς σοφίας, ὁ Χρυσορρήμων φησὶν, ἀλλ' ἡ σοφία ἐκ τῆς οὐσίας· οὕτω δὴ καὶ ἡ ἀγαθότης καὶ εἴ τι τοιοῦτον. Διὰ τοῦτό φησι καὶ ὁ Φίλιππος, οὐ τὴν σοφίαν, ἐζήτει μαθεῖν οὐδὲ τὴν ἀγαθότητα, ἀλλ' αὐτὴν τὴν οὐσίαν, αὐτὸ ὅ τί ποτέ ἐστιν ὁ θεός.

Περὶ τοῦ θείου φωτός.

30. Εἰ κατ' οὐσίαν ὁ θεὸς οὐ μεταμορφοῦται οὐδὲ ποικίλλεται, κατὰ τὴν θείαν ἄρα ἐνέργειαν αἱ θεοφάνειαι πᾶσαι, ποικίλως τὰς ὁράσεις διατιθεῖσαι.

31. Εἰ τὸ φανὲν ἐν τῷ τοῖς ἀποστόλοις Θαβωρίῳ φῶς αὕτη ἡ τοῦ υἱοῦ θεότης ὑπῆρχεν, εἶτα οὖν ἡ τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἐν υἱῷ μονογενεῖ ἀπαστράπτουσα, οὔτ' ἄρα κτιστὸν τοῦτο τὸ φῶς, οὔτε μὴν ἡ τοῦ θεοῦ οὐσία· καὶ γὰρ ἐκείνη τὸ παράπαν ἀόρατος.

32. Εἰ αὐτὸς ὁ θεὸς ἔσται τοῖς ἀξίοις τὰ πάντα κατὰ τὸν μέλλοντα αἰῶνα, φῶς δὲ δικαίοις διὰ παντὸς οὐκ ἀλλότριον, ἄρα τοῦ θεοῦ τοῦτο τὸ φῶς, ὅπερ ἔσται τοῖς δικαίοις κληρονομία, βασιλεία θεοῦ καλούμενον.

33. Εἰ τὸν λόγον ἀπαιτοῦσιν οἱ αἱρετικοὶ τοῦ σαρ-

33) *οὐ μὴ γεύσωνται.* **Marc. 9. 1.**

κικοῖς ὀφθαλμοῖς καθοραθῆναι τὸ ἄϋλον, δόντωσαν λόγον τοῦ σαρκικῇ φύσει τῆς θεοτόκου περιληφθῆναι τὴν τοῦ μονογενοῦς ὑπόστασιν σαρκουμένην· εἰ δ' ἐκεῖνο παντελῶς ὑπὲρ λόγον, καὶ τοῦτο συγχωρησάτωσαν· καὶ γὰρ τοῦτο ὡς ὑπερφυὲς ἐπηγγέλθη. „Οὐ μὴ γεύσωνται θανάτου φησὶν, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει," δηλῶν ὡς ὅπερ ἔσται τοῖς ἀξίοις μετὰ τὸν θάνατον, τοῦτο καὶ ζῶντες οὗτοι καρπώσονται· διὰ γὰρ τοῦτο καὶ τῶν λοιπῶν ἐξελέγησαν ἀριστίνδην.

34. Εἰ σχημάτων καὶ χρωμάτων καὶ αὐτοῦ φωτὸς ἀτιληπτική ἐστιν ἡ ὅρασις μόνον, ἅπερ εἰσὶν ἄϋλα τῷ οἰκείῳ λόγῳ, τί θαυμαστὸν, εἰ καὶ τὸ θεῖον ἄϋλον φῶς ἠδυνήθη ποτὲ παραδέξασθαι τῇ θείᾳ δυνάμει βοηθουμένη;

35. Εἰ πρὸ τῆς παραβάσεως ὁ Ἀδὰμ τὰ μὲν τῶν ζώων ἰδιώματα ἔβλεπε, δι' ὧν αὐτοῖς τὰς κλήσεις ἐπέθετο, καὶ πρὸ τούτων αὐτὸν τὸν θεὸν, τὴν δὲ ἑαυτοῦ οὐκ ἔβλεπε γύμνωσιν, ἑτέροις ἄρα ὀφθαλμοῖς τότε ἑώρα, ὧν ἐπιμυσάντων μετὰ τὴν ἁμαρτίαν οἱ τῆς σαρκὸς ἠνοίγησαν ὀφθαλμοί· ἀλλὰ πάλιν αὐτοὺς ἐν τοῖς μαθηταῖς διανοίγων ὁ κύριος μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας, ὁ Δαμασκόθεν Ἰωάννης φησίν.

36. Εἰ φῶς τέ ἐστιν ὁ θεὸς καὶ φῶς οἰκεῖν ἀπρόσιτον λέγεται, τὸ μὲν ἄρα ὡς οὐσιῶδες αὐτῷ καὶ φυσικὸν ἀχώριστον ὂν, τὸ δὲ ὡς κατὰ τὴν ἐνέργειαν διακεκριμένον.

37. Εἰ πρὸς τὸ θειότερον ἡ ψυχὴ μετασκευάζεται τῇ ἐπιδημίᾳ τῆς χάριτος, τί θαυμαστὸν, εἰ καὶ τὰς διὰ τοῦ σώματος αὐτῆς ἐνεργείας θειοτέρας προβάλλεται καὶ τῶν θείων καὶ ὑπὲρ αἴσθησιν ἀντιλαμβάνεσθαι δυναμένας;

38. Εἰ πρὸς τὴν κτίσιν ἡ σωματικὴ φύσις ὑπὲρ φύσιν ἔδρασε τῇ θείᾳ δυνάμει βοηθουμένη, λέγω δὴ οἱ τοῦ Πέτρου πόδες κατὰ κυμάτων πεζεύσαντες, διὰ τί μὴ καὶ πρὸς τὸ ἄκτιστον ὑπὲρ φύσιν ὁμοίως τῇ αὐτῇ δυνάμει διατεθείη, λέγω δὴ οἱ ὀφθαλμοὶ τούτου, πρὸς τὸ θεῖον φῶς; ὅπου γάρ ἐστι θεὸς, οὐδὲν ἀδύνατον.

39. Εἰ τὴν ἐναντίαν δύναμιν οἴδαμεν ἐνεργεῖν τι

περὶ τὰς ἀνθρωπίνας ὄψεις μεταποιεῖν τε αὐτὰς καὶ διατιθέναι παρὰ φύσιν πρὸς τὸ μὴ ὄν, δηλοῦσι δὲ οἱ θαυματοποιοὶ καὶ τὰ πάλαι ἀδόμενα μαγγανεύματα, πῶς οὐ τῇ θείᾳ δυνάμει δώσομεν ἀλλοιοῦν τε καὶ μεταποιεῖν τοὺς ὀφθαλμοὺς ὑπὲρ φύσιν δύνασθαι, καὶ ταῦτα δὴ πρὸς τὸ ὂν τὸ θεῖον φῶς;

40. Εἰ ἐν τῷ φωτὶ τῷ πνεύματι φῶς τὸν υἱὸν ὁ πρωτομάρτυς Στέφανος θεασάμενος οὕτω τὸ πρόσωπον ἔλαμψε, τῷ αὐτῷ ἄρα φωτὶ καὶ τὴν ὀπτασίαν εἶδε καὶ τὸ πρόσωπον ἔλαμψε, καὶ πῶς κτιστὸν τοῦτο τὸ πνεῦμα τὸ ἅγιον ὄν, ὡς ὁ θεηγόρος Γρηγόριος ὁ τῆς Νύσσης φησίν; Εἰ τὸ ἐπιφανὲν Ἀντωνίῳ τῷ θείῳ φῶς αὐτὸς ὁ κύριος ἦν, „κύριε γάρ φησιν, ποῦ τὸ πρότερον ἦς,“ ὁ δέ φησιν, „Ἀντώνιε, ὧδε ἤμην·“ οὐκ ἀλλότριον ἄρα θεοῦ οὐδὲ κτίσμα τὸ τοῖς ἁγίοις ἐπιφαινόμενον φῶς. Οὕτως ἔχει καὶ τὸ τοῦ Παύλου, πλὴν ὅσον ἐκεῖ μὲν φοβερὸν διὰ τὴν κατάπληξιν, ἐνταῦθα δὲ προσηνὲς διὰ τὴν παράκλησιν.

41. Εἰ αὐτὸς ὁ θεὸς προηγεῖτο τῶν υἱῶν Ἰσραὴλ ἐν στύλῳ πυρὸς καὶ νεφέλης ἅπασι φαινομένης, οὐ τοῖς ἀξίοις ἄρα μόνον καὶ κεκαθαρμένοις αἱ θεοφάνειαι, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς χορηγοῦνται. Τῆς γὰρ θείας δυνάμεως ἐστὶ τὸ πᾶν, οὐ τῆς τῶν ὁρώντων ἕξεως, πλὴν ὅσον τοῖς μὲν εἰς τὴν ψυχὴν καὶ τὸν νοῦν ὁ φωτισμὸς διαβαίνει, καθάπερ καὶ ἀπὸ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα πρόεισιν ὡς ἐπὶ Μωσέως τε καὶ τοῦ πρωτομάρτυρος, τοῖς δὲ περὶ τὴν ἔξω μόνην στρέφεται ὄψιν, οἷον ἀντὶ τύπου τινὸς ὕλης διαδῦναι μὴ ἔχων.

42. Εἰ ὥσπερ τὸ κυριακὸν πρόσωπον ὡς ὁ ἥλιος ἔλαμψεν, οὕτω καὶ οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τῷ αὐτῷ ἄρα φωτὶ καὶ οἱ δίκαιοι λάμψουσιν, ᾧ καὶ ὁ κύριος ἔλαμψε· τὸ δέ ἐστιν ἡ τῆς θεότητος ἀκτὶς ἄναρχος οὖσα καὶ ἄκτιστος, ὡς οἱ θεολό-

---

42) Conf. Math. 17, 2. 13, 43.

γοι φασὶ, καὶ πῶς κτιστὸν τὸ τοῖς ἁγίοις ὁρώμενόν τε καὶ μετεχόμενον φῶς;

43. Εἰ τῆς παρ' ἡμῶν ἐπιστροφῆς πρὸς θεὸν μόνον ἔδει πρὸς τὸ φωτίζεσθαι, καὶ οὐ πρὸς τούτῳ καὶ τῆς ἐκείνου ἐπιστροφῆς πρὸς ἡμᾶς, οὐκ ἂν ἐδεόμεθα λέγοντες, „μὴ ἀποστρέψῃς τὸ πρόσωπον σου ἀπ' ἐμοῦ," καὶ αὖθις, „ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα." ὥπερ δηλοῖ τὴν ἐποπτικὴν αὐτοῦ ἐνέργειαν εὐμενῶς πρὸς ἡμᾶς ἐπιστρέφουσαν.

44. Εἰ μή ἐστιν ἀλλότριον τῆς ἀΰλου ψυχῆς ἡ ὁρατικὴ δύναμις, τοῦ γὰρ ψυχικοῦ πνεύματος ἤρτηται, καθ' ἃ φασιν οἱ περὶ ταῦτα δεινοὶ, τί θαυμαστὸν, εἴ ποτ' ἐπὶ καὶ τῶν ἀΰλων συγγενῶν τῇ ψυχῇ παρὰ τῆς θείας δυνάμεως ἐνισχύθη, πρινὴ καὶ πρὸς αὐτὴν εἰσαγγεῖλαι; Κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ἄγγελοι πολλοῖς ὤφθησαν, καὶ τὸ κυριακὸν μετὰ τὴν ἀνάστασιν σῶμα θεωθὲν ἤδη καὶ γεγονὸς ἄφθαρτον.

45. Εἰ τὸ θεῖον τουτὶ φῶς ὑπὲρ φύσιν μετέχεται καὶ ὁρᾶται, καὶ ἄλλο παρὰ τὸ αἰσθητόν ἐστι φῶς, οὕτω καὶ ἡ τοῦ θεοῦ σοφία καὶ ἡ παρ' αὐτοῦ γνῶσις καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα· καὶ ἁπλῶς εἰπεῖν ἅπαντα τὰ χαρίσματα ὑπὲρ φύσιν ἐπιγίνονται τοῖς ἀξίοις καὶ ἄλλα παρὰ τὰ ἐν ἡμῖν εἰσι φυσικὰ καὶ διὰ σπουδῆς προγινόμενα. Καὶ γὰρ ἡ ζωὴ πᾶσα τῶν κατὰ θεὸν ζώντων ἑτέρα παρὰ τὴν φυσικήν ἐστι, πνευματική τε καὶ θεοειδὴς οὖσα· ταύτην καὶ ὁ Παῦλος ἔζη μηκέτι ζῶν τῇ σαρκὶ, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὅς ἐστι τῶν χαρισμάτων τὸ πλήρωμα.

Περὶ τῶν πνευματικῶν χαρισμάτων.

46. Εἰ πολλὰ μὲν πνεύματα λέγεται, πολλὰ δὲ ἡ

---

43) Ps. 50, 13. 79, 4.

τοῦ πνεύματος ὑπόστασις οὐ γίνεται, ἕτερον ἄρα ἡ αὐτοῦ ὑπόστασις, καὶ ἕτερα τὰ χαρίσματα.

47. Εἰ ἡ ἐξ ἀρχῆς ἐμφυσηθεῖσα παρὰ θεοῦ τῷ ἀνθρώπῳ πνοὴ ζωῆς, ἀφ' ἧς ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, οὔτ' αὐτὴ ὑπῆρχεν ἡ ἀνθρωπίνη ψυχὴ, μέρος γὰρ ἦν οὕτω γε τῆς θείας οὐσίας, οὔτε μὴν ἡ τοῦ θείου πνεύματος ὑπόστασις, ἦ γὰρ ἂν ἐσαρκοῦτο τὸ ἅγιον πνεῦμα· ἕτερον ἄρα ἡ τοῦ πνεύματος ὑπόστασις, καὶ ἕτερον ἡ ἐμφυομένη χάρις.

48. Εἰ τὸ μετὰ τὴν ἀνάστασιν παρὰ τοῦ κυρίου δι' ἐμφυσήματος τοῖς ἀποστόλοις δοθὲν οὐκ αὐτὴ ἡ τοῦ πνεύματος ἦν ὑπόστασις, οὐδέπω γὰρ ἐπεδήμησεν ὁ παράκλητος, οὐδέπω τοῦ κυρίου πρὸς τὸν πατέρα πεπορευμένου· ἕτερον ἄρα ἡ τοῦ πνεύματος ὑπόστασις, καὶ ἕτερον ἡ δι' ἐμφυσήματος διδομένη κοινὴ τῆς τριάδος χάρις.

49. Εἰ πρὸ τοῦ δεσποτικοῦ πάθους οὔπω ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη, ἕτερον ἄρα τὸ ἀϊδίως ὂν πνεῦμα ἅγιον τῆς ἐσομένης μετὰ τὸ πάθος ἐν τοῖς ἀνθρώποις αὐτοῦ χάριτος, πνεῦμα ἅγιον καὶ αὐτῆς καλουμένης.

50. Εἰ ὃ λαμβάνει τις, τοῦτο καὶ δίδοται παρὰ τοῦ διδόντος, λαμβάνουσι δὲ οἱ λαμβάνοντες οὐ τὴν τοῦ πνεύματος ὑπόστασιν ἀλλὰ τὴν χάριν· ἕτερον ἄρα ἡ τοῦ πνεύματος ὑπόστασις, καὶ ἕτερον ἡ παρὰ τοῦ υἱοῦ διδομένη τοῦ πνεύματος ἐνέργειά τε καὶ χάρις.

51. Εἰ πανταχοῦ παρὼν ὁ θεὸς οὐ μεταλλάττει τόπον ἐκ τόπου, ποτὲ μὲν ὧδε, ποτὲ δ' ἐκεῖσε γινόμενος, οὔτ' ἄρα ἀποστέλλεται οὔτε δίδοται, οὔτε ἐκχεῖται οὔτε πηγάζει ἡ τοῦ πνεύματος θεία ὑπόστασις, ἀλλ' ἡ χάρις αὐτοῦ φανερουμένη καὶ ἐνέργεια· ποτὲ γαρ ταῦτα πάντα καί τισι καὶ δι' αἰτίαν.

---

48) Conf. Joh. 7, 39.

52. Εἰ καὶ παρὰ Μωυσέως ὁ θεὸς τοῦ πνεύματος ἀφελὼν ἑτέροις μετέδωκε, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων ἐδίδοτο πνεῦμα ἅγιον, ἀλλὰ καὶ μέχρι νῦν ἐξ ἐκείνων κατὰ διαδοχὴν ἐν τῇ ἐκκλησίᾳ διαδίδοται τοῖς πιστεύουσιν· οὐδ' ἄρα τὸ διὰ σωματικῆς ἐκφυσήσεως παρὰ τοῦ κυρίου τοῖς ἀποστόλοις δοθὲν ἡ τοῦ πνεύματος ἦν ὑπόστασις, ἀλλ' ἡ τὸν ναὸν ἐκεῖνον πληρώσασα χάρις· ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ φησι ἡμεῖς πάντες ἐλάβομεν.

53. Εἰ μέτρῳ καὶ μερίδι τὴν τοῦ πνεύματος δωρεαν οἱ πιστοὶ λαμβάνουσι, κατ' οὐσίαν δὲ θεὸς οὐ μετρεῖται οὐδὲ μερίζεται, ἕτερον ἄρα ἡ ἀμέριστος οὐσία καὶ ἕτερον ἡ μεριζομένη καὶ μετρουμένη χάρις.

54. Εἰ τὸ ἐπελθὸν τῇ παρθένῳ ἅγιον πνεῦμα οὐκ αὐτὸ ἐσαρκώθη, ἀλλ' ἡ τοῦ λόγου ὑπόστασις, ἕτερον ἄρα ἡ τοῦ πνεύματος ὑπόστασις, καὶ ἕτερον ἡ ἐπιφοιτήσασα τῇ παρθένῳ χάρις τε καὶ ἐνέργεια, πρὸς ἁγιασμὸν τῆς σαρκὸς αὐτῆς, οἱ θεολόγοι φασὶ, καὶ πρὸς τὸ δύνασθαι φέρειν τὸ σωτήριον κύημα· διὰ γὰρ τοῦτο τῷ πνεύματι καὶ ἡ τοῦ ὑψίστου δύναμις προσετέθη.

55. Εἰ ἡ παρὰ τοῦ κυρίου ἐξερχομένη δύναμις καὶ ἰωμένη πάντας πνεῦμα μὲν θεῖον ἦν, „ἐν γὰρ πνεύματι θεοῦ φησιν ἐκβάλλω τὰ δαιμόνια,“ οὐκ αὐτὴ δὲ ἡ τοῦ πνεύματος ὑπόστασις ἦν, οὐ γὰρ ἂν περὶ ἐκείνης ἔλεγεν, „ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ·“ ἕτερον ἄρα ἡ τοῦ πνεύματος ὑπόστασις, καὶ ἕτερον ἡ παρὰ τοῦ υἱοῦ ἐκδιδομένη δύναμίς τε καὶ χάρις.

56. Εἰ ἀπὸ τοῦ θείου πνεύματος ἐπὶ πᾶσαν σάρκα ἐκχεομένου, ὡς ἡ ὑπόσχεσις, οἱ ἀπόστολοί τε καὶ οἱ λοιποὶ μετέχουσιν, οὐκ ἄρα κτίσμα τὸ ἐν αὐτοῖς γινόμενον πνεῦμα, καθ' ὃ πνευματικοὶ χρηματίζουσιν.

---

52) ἐκ γὰρ τοῦ πληρώματος. Rom. 15, 29.

55) ὑψίστου δύναμις. Luc. 1, 35.

56) ἐκβάλλω τὰ δαιμόνια. Luc. 11, 20. — ἔγνων δύναμιν. Marc. 5, 30.

57. Εἰ τῷ Παύλῳ πνεῦμα κτιστὸν ἦν, καὶ ὁ τοῦ Χριστοῦ νοῦς, ὃν εἶχεν, ἔσται κτιστὸς, καὶ αὐτὸς ὁ Χριστὸς ὁ ἐν αὐτῷ λαλῶν· ἀλλὰ ταῦτα πάντα τὴν θείαν χάριν δηλοῦσι καὶ τὴν ἐνέργειαν ἄκτιστον τε καὶ ἀΐδιον οὖσαν.

58. Εἰ τῇ θεοτόκῳ τε καὶ τοῖς ἀποστόλοις πνεῦμα ἅγιον καὶ δύναμις ὑψίστου ἐπήγγελται, οὐκ ἐπεδήμησε δὲ τῇ θεοτόκῳ ἡ τοῦ πνεύματος ὑπόστασις, οὐδὲ γὰρ αὐτῇ ἐσαρκώθη· οὐδ' ἄρα τὸ ἐπιφοιτῆσαν τοῖς ἀποστόλοις ἡ τοῦ πνεύματος ὑπόστασις ἦν, ἀλλ' ἡ χάρις καὶ ἡ ἐνέργεια, ἥτις καὶ ἐνέπλησεν αὐτοὺς ἐν εἴδει γλωσσῶν πυρίνων ἐπιφανεῖσα καὶ διαμεριζθεῖσα, οὐσιωδῶς δὲ ἐπιφοιτῆσαι τὸ πνεῦμα εἴρηται τότε, διότι οὐ μέρος τι τῆς ἐνεργείας ὡς πρότερον, ἀλλ' ὅλη ἡ ἐνέργεια ἐξεχύθη, ἥτις ἐστὶ συνηγμένη καὶ ἀχώριστος τῇ οὐσίᾳ καὶ κοινὴ τῶν τριῶν ὥσπερ καὶ ἡ οὐσία.

59. Εἰ ἡ τοῦ θείου πνεύματος χάρις ἐπιφοιτῶσα τοῖς μυστηρίοις εἰς τὸ τεθεωμένον αὐτὰ σῶμα καὶ αἷμα μετασκευάζει, πῶς ἄρα κτίσμα ἡ τὸ τοσοῦτον ὑπερφυῶς δυναμένη;

60. Εἰ τὰ ἐπαναπαυσάμενα τῷ Χριστῷ κατὰ τὴν προφητείαν ἑπτὰ πνεύματα τὸ πνεῦμα ἦν αὐτὸ τοῦ θεοῦ ταῖς ἑαυτοῦ ἐνεργείαις ἐπιφοιτῆσαν, οὕτω γὰρ καὶ ἐμφέρεται, τοῦτο δ' οὐκ ἐστι κτίσματα, λέγω δὴ τὰ πνευματικὰ χαρίσματα.

61. Εἰ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, οὐδὲν ἄρα τέλειον τῶν ἐν ἡμῖν φυσικῶν ἢ διὰ σπουδῆς ἐπικτήσων, μή τί γε δὴ ἡ θέωσις, ἣ θεοῦ μόνου προδήλως καθέστηκεν.

62. Εἰ τοῦ θεοποιοῦ μετέχοντες δώρου κοινωνοὶ γινόμεθα θείας φύσεως, ὡς ὁ θεσπέσιος ἔφη Πέτρος, οὐκ

---

60) *ἑπτὰ πνεύματα.* Apcal. 1, 4.
61) *δώρημα τέλειον.* Jacob. 1, 17.
62) *κοινωνοὶ θείας φύσεως.* 2. Petr. 1, 4.

ἂν εἴη κτιστὸν τοῦτο τὸ δῶρον, ὃ καλεῖται θεαρχία καὶ θέωσις, ἔτι δὲ καὶ θεότης.

63. Εἰ διὰ κτίσματος θεούμεθα καὶ κτίσματι δήπου λατρεύσομεν· τοῦτο δὲ Ἑλληνικὸν καὶ ἀθεΐας ἀπάπλεων.

64. Εἰ φυσικόν τι σπέρμα ἐγκαταβεβλημένον ἡ θέωσις ἦν, οὐκ ἂν ἡμῖν ἔδει ἀναγεννήσεως οὐδὲ τῶν λοιπῶν μυστηρίων, ἐξ ὧν ἡ θεία χάρις ἐπιφοιτᾷ τοῖς καὶ τῷ βίῳ κεκαθαρμένοις.

Index verborum et rerum memorabilium.

ἀγαθὸν ἄπειρον lib. VII, § 94.
summi boni natura VII, § 84 sqq.
summi boni desiderium II, § 159 sqq.
ἀγαθῶν θείων αἴσθησις VII, 145.
ἀγάπη τῆς γνώμης ἐστὶν ἀρετή VII, 13.
ἀγάπη ἕνωσίς ἐστι πρὸς τὸν θεόν, ζωή. VII, 164.
ἀγών, ἀγωνίζεσθαι de praesentis vitae laboribus I, 94. VI, 56.
Adami cum Christo, qui ideam humani generis expressit, comparatio VI, 132 sqq.
αἴσθησις ἄμεσος τοῦ θεοῦ II, 180.
αἷμα θεοῦ I, 89.
- *καθάρσιον* VI, 145.
ἀκτὶς τοῦ κάλλους II, 132.
ἁμαρτία προγονική, peccatum originale II, 57 sqq.
- *ἀτελεύτητος* II, 59.
ἀνδραποδισμός I, 61.
ἄνθραξι πολεμεῖν VI, 147.
ἀντίῤῥοπον IV, 22.
Ardalion martyr II, 144.
ἀρετή, virtus Christiana qualis VI, 53. 64 sqq.
ἁριστεία I, 93.
ἁρπάζειν τὴν βασιλείαν τῶν οὐρανῶν (vide *βιασταί*) VII, 115.

βαδίζειν πρὸς τὸν θεόν VII, 69.
baptismus lib. II.
notio et virtus baptismi II, 10. 26.
nomina 13 sqq.
ritus 27 sqq. 41 sqq. 180.
baptismus haereticorum 98.
baptismus martyrum 121 sqq.

βιασταὶ τῶν θείων ἀγαθῶν VII, 117
βίος ὁ μέλλων, praesentis et futurae vitae quaenam ratio intercedat I, 1 sqq.

Christus cur advenerit, ad modum ratiocinationis Anselmianae demonstratur IV, 18 sqq. 27 sqq.
Christi natura et voluntas duplex I, 81. VII, 152.
- dignitas IV, 87.
- munus regium IV, 131. 35. 36.
Christus primi hominis exemplar VI, 132.
- allegorice vel mystice nominatur *πλάστης*, *ἀλείπτης*, *συναγωνίστης* VI, 89. 120.
ἀθλοτέθης VI, 90.
θυσιαστήριον, *θυσία*, *θύων* III, 38. 39.
ταμίας τοῦ ἀγαθοῦ VII, 150.
ἀριστεύς I. 94.
κορυφαῖος IV, 146.
θεὸς ἐν μέσῳ θεῶν ibid.
κατάλυμα τῶν ἀνθρωπίνων ἐρώτων VI, 139.
τρύφη τῶν λογισμῶν VI, 139.
χρίσμα III, 5 sqq.
Pii in Christo habent *ἄλλον αὐτόν* IV, 110. VII, 86.
χαρά (conf. *ἡδονή*) VII, 75 sqq.
χαρὰ ὁλόκληρος VII, 111.
χρίειν τὴν ἀνθρωπότητα II, 39.
χρίσμα II, 39.

γάμος, nuptiae spiritales I, 16. II, 97. IV, 43.
γάνος II, 167.
Gelasius martyr II, 142.
γεραίρω V, 23.
γεύσασθαι τῶν θείων ἀγαθῶν, τοῦ σωτῆρος VII, 145. II, 161. al.
γνώμη τοῦ ἀγαθοῦ VII, 10.
γυμνάσιον εὐσεβείας IV, 103.
γύμνωσις in Baptismo II, 34.

δαδουχία II, 179.
δερμάτινοι χιτῶνες, vestes ante Baptismum deponendae II, 34.
δημαγωγὸς ὁ θεός VII, 30.
δῆμος θεῶν VI, 33.
διακωχὴ τοῦ κακοῦ II, 64.
διατριβὴ ψυχῶν VI, 67.

Dionysius Areopagita IV, 33.
τὸν δίσκον (τοῦ ἡλίου i. e. Christum) ταῖς ψυχαῖς δέχεσθαι IV, 11.
δίψα τῶν ἀνθρωπίνων ψυχῶν II, 162.
δῶρον φρικτόν V, 6.

ἔδαφος τοῦ τεμένους V, 20.
εἴσω πίπτειν intra finem cadere, rem non assequi I, 16.
ἐμφύσημα II, 28.
ἐνοικίσασθαι, οἰκῆσαι de conjunctione cum Christo IV, 9. 12.
ἕξις, ἐνέργεια de duplici modo peccati II, 57.
ἐπήρεια δαιμόνων V, 23.
ἐπιθυμία ἄπειρος VII, 95.
ἐπιθυμία πάσης πράξεως ἀρχή VI, 13.
ἐπιθυμίας ἀρχὴ ὁ λογισμός ibid.
ἐπιθυμητόν, ἐπιθυμητικόν VII, 93.
ἐπισκοτεῖν I, 3.
ἐργαστήριον οὗτος ὁ βίος I, 4.
ἔρως, amor divinus et mysticus II, 148. 158. VI, 85. 126. VII, 40. 100.
- ἀπόῤῥητος VII, 158.
- μανικός VI, 22.
- τῶν ἄθλων VII, 70.
eucharistia lib. IV.
- cur iterari debeat IV, 34. 50.
eucharistiae cum baptismo comparatio IV, 76.
- efficacia IV, 54. 60—63.
εὐωδία II, 70. IV, 42.
εὐωχία I, 28.

τὸ ζητούμενον V, 25.
ζωὴ ἐν Χριστῷ I, 1 sqq.
- ἕνωσις πρὸς τὸν θεόν VII, 164.
- ἡ κινοῦσα τὰ ζῶντα δύναμις VII, 166.
- notio hujus vitae Christianae I, 76. II, 105.

ἡδονὴ καθαρά VII, 86.
ἡδονῆς τρόπος ἐλευθεριώτατος VII, 77.
ἡδονὴ καὶ λύπη ὑπερβολὴ θελήσεως VII, 18.

θάνατος χωρισμὸς ἀπὸ θεοῦ VII, 164.
θέατρον I, 97.

θεία ἀλοιφή V, 17.
θέλησις, *θέλειν τὸν θεόν* VII, 164.
voluntatis liberae necessitas II, 91. 92.
liberum arbitrium VII. 17.
Omnis hominum virtus atque perfectio in voluntate sita est VII, 148. 154.
θεολογεῖν II. 45.
θεολογία II, 52. 53.
θεὸς ὑγιής IV, 118.
- *σφαττόμενος* VI, 94.
Dei trinitas II, 49, 51.
θεωρεῖν τὰ τοῦ Χριστοῦ IV, 129.
θεωρία τοῦ ἀγαθοῦ, *τοῦ θεοῦ* VII, 145. II, 86.
θέωσις II, 3. al.
θησαυρὸς πνευματικός VI, 129.
θυμίαμα V, 37.
θυσιαστήριον V, 1. 2. 6. al.
Modus consecrandi altaris describitur V, 3 sqq.

ἰατρός Christus VI, 143.
ἱερόσυλος VII, 46.
ἴλιγγος VII, 51.
ἴταμος VII, 45.

καθαρότης τῆς καρδίας VI, 118.
καταδημαγωγεῖν τὸ γένος ἅπαν VII, 137.
κατάλυμα τῶν ἀνθρωπίνων ἐριώτων VI, 139.
- *τελευταῖον* V, 18.
κατόρθωμα II, 184. VI, 76 saepe.
κλίμαξ in virtutibus VI, 73.
κόμμα πονηρόν, prava hominum indoles IV, 119.
κορυφαῖος ὁ Χριστός IV, 146.
κόσμος οὗτος, *μέλλων*, utriusque mundi ratio et cohaerentia I, 2 sqq.
κόσμος ἀγήρως I, 5.
Praesens mundus parturiens internum hominem gignit tanquam embryonem et excolit, ut transeat in futurum I, 5 sqq.
κύκλος ἀριστέων VI. 36.

λογισμός VI, 13. al.
λογισμοὶ ἀγαθοί VII, 62.
- *σύντροφοι ἡμῖν* VI, 49.

λύπη σωτήριος, κατὰ θεόν VI, 43. VII, 23 sqq.
tristitia pia et impia VI, 43.
λύπη φάρμακον VII, 34.

μακαρισμοί, explicatio octo vel novem Christi benedictionum VI, 74 sqq.
martyrum fortitudo II, 117.
- ossa V, 33. 34.
μέλη Χριστοῦ simulque *παῖδες θεοῦ* IV, 60 sqq.
μεταβάλλειν, μεταβολή, de coena sacra IV, 54.
μιμήσασθαι Χριστόν VII, 151.
μονώτης VI, 5.
Monachorum vita non nimis expetenda neque necessaria VI, 63. 64.
μύησις III, 30.
μυρίζειν V, 26.
μύρον, sacramentum unctionis lib. III.
- quid efficiat III, 2. 11. 15. 19.
- quomodo ortum sit III, 3 sqq.
- *ἐκκενωθέν* III, 6.
μύρου χρίσις I, 36.
μυστήριον φρικτόν VI, 27.
μυστήριον, sacramentum quid sit I, 40—42. 72.
μυστοδόκος οἶκος V, 28.

ναὸς ἀληθής V, 39.
νάρκη τῆς ψυχῆς VI, 40.
νηκτὸς βίος I, 6.
νόμος φιλίας VI, 63.
νυμφίος ὁ Χριστός II, 121. IV, 43.
νυμφαγωγὸς Ἰωάννης IV, 44.

ὀθόνη V, 3. 5.
οἰκονομία II, 49. 51.
ὀνομαστήριος ἡμέρα τοῦ βαπτίσματος II, 18.
ὁρμή, ἀμείβειν τὴν ὁρμήν VII, 68.

πάθος καλόν VII, 162.
- *ὑπερφυές* VII, 114.
παλαιὸς ἄνθρωπος II, 163.
πεῖραν λαβεῖν II, 129. VII, 139.
Duplex fons cognitionis, quam aut ipsa animi experientia aut ex nuntiis tantum consequimur ibid.

πίναξ V, 6.
πλοῦτος πνευματικός VI, 77. 84. 90. 129.
πόθος, πῦρ τοῦ πόθους VI, 56. 58. II, 133.
- περὶ Χριστόν II, 136. 158.
τὸ ποθούμενον i. q. τὸ ζητούμενον II, 161.
Porphyrius martyr II, 139.
πραότης Christi VI, 95 sqq.
πύλαι τοῦ οὐρανοῦ i. e. sacramenta I, 42. 72.
πύρωσις τοῦ νοῦ VII, 35.
πτῶμα, corpus Christi IV, 149.

resurrectio futura IV, 143 sqq.

sacramenta, θυρίδες, πύλαι, portae coelestes I, 40. 42. 72.
sacramentorum vis I, 93. 99. II, 6.
sacramentorum fructus quomodo percipiendus sit I, 32. 33.
sacramentorum ordo II, 5—8.
salus omnis Christiana duabus rebus constat, sacramentorum fructibus et liberae voluntatis contentione III, 33.
τὸ σαρκίον I, 2.
συγγένεια, συμφυΐα φυσική, συνουσία, κοινωνία, συμμίγνυσθαι, συμφύεσθαι, κερασθῆναι, ἐγχεῖσθαι, συνάπτειν de arctissima cum Christo communione IV, 12. 13. 42. 63. 72. 94. 106. VI, 30. al.
συναυλία μετὰ θεοῦ III, 12.
σωή VII, 1.
σωρὸς ἀγαθῶν II, 191.

τεχνίτης ὑγείας VI, 147.
τεχνίτου ψυχή, artifex priusquam simulacrum perficiat, ideam ejus atque speciem mente conceptam in se continet V, 12.
τρύφη τῆς θελήσεως II, 86.
ὕδωρ ἀναπαύσεως V, 17
- ἀλεξίκακον V, 23.

φιάλη VI, 27.
φιλανθρωπία IV, 25. V, 31 VI, 48.
τὰ φιλικά VI, 102. 104.
φιλοσοφία πᾶσα προτέλεια καὶ παρασκευή, philosophiae finis propaedeuticus IV, 20.
φιλοσοφίας κορυφή II, 119. 153. 179. IV, 48.

φίλτρον I, 94. II, 125. 126. 131. 141. 158. 165. 167. IV, 113. VI, 16. 18. 20. 46. 99. 102. 104. VII, 30. 54. 63. 68. 72. 85. 89. 102. 108. 123. 162.

ψυχῆς ἀῤῥωστήματα VI, 66.
ὠτειλαί, vulnera Christi VI, 20.
ὠνὴ φρικώδης VII, 129. 135.

Corrigenda.

p. 60 § 146 pro *παρδίαν* lege *καρδίαν*.
p. 197 § 114 pro *ἀλχάττονται* lege *ἀλλάττονται*.

Gryphiae, typis F. W. Kunike.